193. *μιν*, *Ἕκτορα*, wie das gleichlgende *ὁ δέ* zeigt.

194. *νεκρῶν ἀμφοτέρων* in Beiehung auf 170 f. 185 f.

195. *Στιχίος — Μενεσθεύς* sind uch *ο*, 329—331. wieder verbunen; über den letztern vgl. *β*, 552 -556.

197. *μεμαότε θούριδος ἀλκῆς* vgl. 46. *Αἴαντε — μεμαῶτε καὶ αὐτώ* und 48. *ἀλκῆς μνησαμένω*.

198. *δύ' αἶγα λέοντε*. Beide Löwen sind hungrig, und keiner will die den Hunden entrissene oder trotz den bewachenden Hunden erbeutete Ziege dem andern überlassen. Vgl. das Fragment aus Aischylos' Glaukos: *Εἷλκον δ' ἄνω λυκηδόν, ὥστε διπλόοι λύκοι νεβρὸν φέρουσιν ἀμφὶ μασχάλαις*, und zu *ἁρπάξαντε κυνῶν ὕπο* Il. *ι*, 248. *ἐρύεσθαι ὑπὸ Τρώων ὀρυμαγδοῦ*.

202. *τεύχεα συλήτην*, wie wohl auch die Löwen schon unterwegs einen Theil ihrer Beute verschlingen. *κεφαλὴν — κόψεν*. Die Misshandlung des Leichnams gilt eig. nicht dem Imbrios selbst, sondern dem Hektor, der den Amphimachos getödtet hatte. Darum schleudert er auch den Kopf desselben wie einen Ball so gegen die Feinde, dass er gerade dem Hektor vor die

κόψεν Ὀιλιάδης, κεχολωμένος Ἀμφιμάχοιο,
ἧκε δέ μιν σφαιρηδὸν ἑλιξάμενος δι' ὁμίλου.
Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσιν.
καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη
υἱωνοῖο πεσόντος ἐν αἰνῇ δηιοτῆτι,
βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν
ὀτρυνέων Δαναούς, Τρώεσσι δὲ κήδε' ἔτευχεν.
Ἰδομενεὺς δ' ἄρα οἱ δουρικλυτὸς ἀντεβόλησεν,
ἐρχόμενος παρ' ἑταίρου, ὅ οἱ νέον ἐκ πολέμοιο
ἦλθε κατ' ἰγνύην βεβλημένος ὀξέι χαλκῷ.
τὸν μὲν ἑταῖροι ἔνεικαν, ὁ δ' ἰητροῖς ἐπιτείλας
ἤιεν ἐς κλισίην· ἔτι γὰρ πολέμοιο μενοίνα
ἀντιάαν. τὸν δὲ προσέφη κρείων ἐνοσίχθων,
εἰσάμενος φθογγὴν Ἀνδραίμονος υἷι Θόαντι,
ὃς πάσῃ Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι
Αἰτωλοῖσιν ἄνασσε, θεὸς δ' ὣς τίετο δήμῳ.
«Ἰδομενεῦ Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαί

Füsse fällt. Zu 204. *ἧκε — ἑλιξάμενος* er warf im Kreise schwingend vgl. *γ*, 378. *ῥῖψ' ἐπιδινήσας* und *λ*, 417. *ὅλμον δ' ὣς ἔσσευε.*

206. *καὶ τότε — Ποσειδάων.* Ein neuer Antrieb für Poseidon, den Achäern kräftig beizustehn und den Troern seinen Zorn erfahren zu lassen.

211. *παρ' ἑταίρου.* Es ist ungewöhnlich, dass der Name dieses *ἑταῖρος* nicht angegeben ist. Aber gerade diese unbestimmte Bezeichnung erregt ein grösseres Interesse, als wenn irgend ein wenig bekannter Name genannt wäre.

213. *ἑταῖροι ἔνεικαν.* Die Gefährten hatten ihn aus dem Treffen g e t r a g e n und unter Mitwirkung des zufällig dazu gekommenen Idomeneus in seine (des Verwundeten) Hütte gebracht; nachdem ihn dann dieser den Aerzten übergeben, begab er sich nach seiner eigenen Hütte, um sich nunmehr auch selbst gehörig zum Kampfe zu rüsten (240 f.). (214. *ἔτι γὰρ — μενοίνα ἀντιάαν* vgl. 752). Er scheint also an der erneuerten Schlacht bisher nicht Theil genommen (vgl. 84.), sondern nur in der Nähe zugeschaut zu haben; daher auch die Rüge des Poseidon (219 f.).

216. *Θόαντι* der auch schon oben 92. genannt war.

217. *πάσῃ Πλευρῶνι* scheint wegen des beigefügten *πάσῃ* eigentliches Object zu *ἤνασσε* zu sein, dagegen *αἰπεινῇ Καλυδῶνι* Ortsbestimmung neben dem zweiten Object *Αἰτωλοῖσι*, welchem entsprechend auch im ersten Gliede *Κουρῆσι* ohne *πάσῃ* ausgesetzt sein könnte, vgl. *ι*, 529—532. Zur Construction vgl. 425 f. *πολέσσ' ἄνδρεσσιν ἄνακτα Κρήτῃ ἐν εὐρείῃ* = *ρ*, 307.

219. *ποῦ — οἴχονται* wohin sind sie gekommen, was ist aus ihnen geworden? Vgl. *θ*, 229. *πῇ ἔβαν εὐχωλαί κτέ.*

ἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;»
τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα
ὦ Θόαν, οὔ τις ἀνὴρ νῦν γ' αἴτιος, ὅσσον ἔγωγε
ιγνώσκω· πάντες γὰρ ἐπιστάμεθα πτολεμίζειν.
ὔτε τινὰ δέος ἴσχει ἀκήριον, οὔτε τις ὄκνῳ
ἴκων ἀνδύεται πόλεμον κακόν· ἀλλά που οὕτως
έλλει δὴ φίλον εἶναι ὑπερμενέι Κρονίωνι,
ωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.
λλὰ Θόαν, καὶ γὰρ τὸ πάρος μενεδήιος ἦσθα,
τρύνεις δὲ καὶ ἄλλον, ὅθι μεθιέντα ἴδηαι·
ῷ νῦν μήτ' ἀπόληγε, κέλευέ τε φωτὶ ἑκάστῳ.»
τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων
Ἰδομενεῦ, μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειεν
κ Τροίης, ἀλλ' αὖθι κυνῶν μέλπηθρα γένοιτο,
ς τις ἐπ' ἤματι τῷδε ἑκὼν μεθιῇσι μάχεσθαι.
λλ' ἄγε τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ' ἅμα χρή

222. *οὔ τις ἀνὴρ* im Gegensatz on Zeus, auf den dann 226. die chuld geschoben wird.

223. *ἐπιστάμεθα* wird durch *δυάμεθα* erklärt, wie *π*, 142., wo *τίσταто* wirklich parallel mit *δύατο* steht = *φ*, 320. In unserer telle geht es besonders auf den esitz der moralischen Eigenschaften, die einen in den Stand setzen, twas zu thun.

225. *ἀνδύεται πόλεμον κακόν*, ntzieht sich dem gefährlichen ampfe, sträubt sich dagegen, wie ugthiere gegen das ihnen aufzugende Joch. Wegen des Casus gl. *α*, 496. *ἀνεδύσετο κῦμα θαάσσης*.

226. *μέλλει δή*. *δή* hebt allemal as Wort als Hauptbegriff hervor, inter dem es gerade steht.

227. *νωνύμνους — ἀπολέσθαι* = , 70.

229. *ὅθι* hier temporal, wie *ubi* = *quum*.

230. *τῷ νῦν κτἑ.* darum lass uch) jetzt nicht ab. *τῷ* steht im auptsatz, als ob der begründende Satz ohne *καὶ γάρ* vorhergegangen wäre. Vgl. *η*, 328—331. *πολλοὶ γὰρ τεθνᾶσι — τῷ σε χρὴ κτἑ.* Zu *ἀπόληγε* kann ergänzt werden *μενεδήιος εἶναι*.

232—234. *κεῖνος ἀνὴρ — ὅς τις* vgl. zu Od. *ζ*, 201 f. *οὗτος ἀνὴρ — ὅς κεν — ἵκηται*. So wird durch die Demonstrativpronomina der qualitative Begriff des Artikels umschrieben.

234. *μεθιῇσι* (Conjunctiv) wie von *μεθιέω* haben wir der Consequenz wegen auch hier geschrieben, wie *β*, 752. *προϊεῖ*. *ε*, 880. *ἀνιεῖς*.

235. *τεύχεα — ἴθι*. Dieselbe Verschränkung bei *δεῦρο* wie *γ*, 162. *δεῦρο πάροιθ' ἐλθοῦσα — ἵζευ ἐμεῖο*. *ἅμα* d. h. wir beide gemeinschaftlich. Ueber *σπεύδειν* = *ἐνεργεῖν* (*μετὰ κακοπαθείας καὶ ταλαιπωρίας*) vgl. zu *δ*, 232. Vor *αἴ κε — γενώμεθα* ergänze *πειρωμένους*. Unser zwei werden wenigstens mehr ausrichten, als Einer.

σπεύδειν, αἴ κ᾽ ὄφελός τι γενώμεθα καὶ δύ᾽ ἐόντε.
συμφερτὴ δ᾽ ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν·
νῶι δὲ καί κ᾽ ἀγαθοῖσιν ἐπισταίμεσθα μάχεσθαι.»
ὣς εἰπὼν ὁ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν·
Ἰδομενεὺς δ᾽ ὅτε δὴ κλισίην εὔτυκτον ἵκανεν,
δύσετο τεύχεα καλὰ περὶ χροΐ, γέντο δὲ δοῦρε,
βῆ δ᾽ ἴμεν ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίων
χειρὶ λαβὼν ἐτίναξεν ἀπ᾽ αἰγλήεντος Ὀλύμπου,
δεικνὺς σῆμα βροτοῖσιν, ἀρίζηλοι δέ οἱ αὐγαί.
ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
Μηριόνης δ᾽ ἄρα οἱ θεράπων ἐὺς ἀντεβόλησεν
ἐγγὺς ἔτι κλισίης· μετὰ γὰρ δόρυ χάλκεον ἤει
οἰσόμενος. τὸν δὲ προσέφη σθένος Ἰδομενῆος
«Μηριόνη Μόλου υἱέ, πόδας ταχύ, φίλταθ᾽ ἑταίρων,
τίπτ᾽ ἦλθες πόλεμόν τε λιπὼν καὶ δηιοτῆτα;
ἦέ τι βέβληαι, βέλεος δέ σε τείρει ἀκωκή,
ἦέ τευ ἀγγελίης μετ᾽ ἔμ᾽ ἤλυθες; οὐδέ τοι αὐτός
ἧσθαι ἐνὶ κλισίῃσι λιλαίομαι, ἀλλὰ μάχεσθαι.»
τὸν δ᾽ αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα
Ἰδομενεῦ Κρητῶν βουληφόρε χαλκοχιτώνων,
«ἔρχομαι, εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται,

237. *συμφερτὴ δ᾽ ἀρετὴ πέλει κτἑ.* ist nach Analogie von *λ*, 801. zu erklären: Vereint (= *συμφερτή*, *συμφορητὴ οὖσα*) kommt auch eine Tapferkeit (eine rechte, des Namens werthe T.) von sehr schwachen, unkriegerischen Männern zu Stande (*exsistit: καὶ σφόδρα κακῶν, δειλῶν, ἀνθρώπων εἰς ταὐτὸν συνελθόντων γίγνεταί τις ἀρετή* nach Aristarch): wie viel mehr können denn mehrere Tapfere vereint etwas Tüchtiges leisten. Zu *λυγρός* vgl. 119. *λυγρὸς ἐών.*

238. *νῶι δὲ — ἐπισταίμεσθα μ.* bescheidener als wenn er sagte: wir aber sind keine *λυγροί*, sondern *ἀγαθοί.*

243. *χειρὶ λαβὼν ἐτίναξεν* vgl. *λ*, 41. *πολέμοιο τέρας μετὰ χερσὶν ἔχουσαν* (von der Eris). In *ἐτ[ί]ναξεν* liegt ein Hauptpunct der Ve[r]gleichung, weil auch Idomeneus [i]n der Bewegung gedacht wird (24[2] *βῆ δ᾽ ἴμεν.* 245. *ἔλαμπε — θ[έ]οντος*).

247. *ἐγγὺς ἔτι κλισίης* d. h. a[ls] Idomeneus schon im Weggehe[n,] aber noch nahe an seiner Hütt[e] war. *μετὰ — ἤει* nach 167 f.

252. *ἀγγελίης — ἤλυθες.* Vg[l.] zu *γ*, 206. und *λ*, 140.

256. *εἴ τί τοι* d. i. *εἴ τί σο[ι]* wenn du noch gelassen hast. Ebe[n] jetzt beim Zusammentreffen mit Ido[]meneus kommt Meriones auf de[n] Gedanken, dass er vielleicht scho[n] hier in der Nähe finden könne, wa[s] er sucht.

οἰσόμενος· τό νυ γὰρ κατεάξαμεν, ὃ πρὶν ἔχεσκον, 13
ἀσπίδα Δηιφόβοιο βαλὼν ὑπερηνορέοντος.»
τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα
«δούρατα δ', αἴ κ' ἐθέλησθα, καὶ ἓν καὶ εἴκοσι δήεις
ἑσταότ' ἐν κλισίῃ πρὸς ἐνώπια παμφανόωντα,
Τρώια, τὰ κταμένων ἀποαίνυμαι. οὐ γὰρ ὀίω
ἀνδρῶν δυσμενέων ἑκὰς ἱστάμενος πολεμίζειν·
τῷ μοι δούρατά τ' ἔστι καὶ ἀσπίδες ὀμφαλόεσσαι
καὶ κόρυθες καὶ θώρηκες λαμπρὸν γανόωντες.»
τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα
«καί τοι ἐμοὶ παρά τε κλισίῃ καὶ νηὶ μελαίνῃ
πόλλ' ἔναρα Τρώων· ἀλλ' οὐ σχεδόν ἐστιν ἑλέσθαι.
οὐδὲ γὰρ οὐδ' ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆς,
ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν
ἵσταμαι, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο.
ἄλλον πού τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων
λήθω μαρνάμενος, σὲ δὲ ἴδμεναι αὐτὸν ὀίω.»
τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα
«οἶδ' ἀρετὴν οἷός ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι;

257. *κατεάξαμεν — ἔχεσκον.* Beachte den auch bei Spätern oft vorkommenden Wechsel des Numerus von der sprechenden ersten Person.

260. *δούρατα δ' αἴ. δ'* scheint für *δή* zu stehen, vgl. zu Od. *δ*, 400. *ἦμος δ' ἠέλιος.* — *καὶ ἓν καὶ εἴκοσι* d. h. so viel du willst. *εἴκοσι* ist eine in Hyperbeln besonders gebräuchliche Zahl; vgl. Od. *μ*, 78. mit ebend. *ι*, 241. Die Verbindung *καί — καί* findet sich nach Hoffmann nur hier und *ω*, 641.

261. *ἑσταότα — πρός* eig. hingestellt an; daher der Accusativ. Ueber *ἐνώπια παμφ.* vgl. zu Od. *δ*, 42. Bei diesen in der Hausflur ist auch die *δουροδόκη* zu denken. — *οὐ γὰρ ὀίω* nicht gedenke ich, hier s. v. a. *οὐ νομίζω, οὔ μοι νενομισμένον ἐστίν*, es liegt nicht in meiner Art, vgl. *ε*, 253. *οὐ γάρ μοι γενναῖον.*

263. *ἑκὰς ἱστάμενος* wie z. B. ein Bogenschütze.

267. *καί τοι ἐμοί* erg. *ἔστι*, wahrlich auch ich (habe). Es ist aber zu bemerken, dass Meriones, als *θεράπων* des Idomeneus, zwar eine eigne Lagerhütte (*κλισίη*) hat, diese aber von der des Idomeneus noch bedeutend entfernt ist (*ἀλλ' οὐ σχεδόν ἐ. ἑλέσθαι*).

271. *νεῖκος πολέμοιο* der Wettstreit des Kampfes.

272 f. *ἄλλον πού τινα — ὀίω* d. h. doch dir brauche ich das nicht zu sagen; eher kann es einem anderen unbekannt sein.

275. *ἀρετήν* hier speciell kriegerische Tapferkeit, wie Od. *ω*, 515. *ἀρετῆς πέρι δῆριν ἔχουσιν.* — *τί σε — λέγεσθαι;* was brauchst du das noch lange aufzuzählen? Zur Form des Hemistich's vgl. Od. *ω*, 407. *τί σε χρὴ ταῦτα πένεσθαι;*

13 εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι
ἐς λόχον, ἔνθα μάλιστ᾽ ἀρετὴ διαείδεται ἀνδρῶν,
ἔνθ᾽ ὅ τε δειλὸς ἀνήρ, ὅς τ᾽ ἄλκιμος, ἐξεφαάνθη, —
τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ,
οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ᾽ ἐν φρεσὶ θυμός,
ἀλλὰ μετοκλάζει καὶ ἐπ᾽ ἀμφοτέρους πόδας ἵζει,
ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει
κῆρας ὀιομένῳ, πάταγος δέ τε γίγνετ᾽ ὀδόντων·
τοῦ δ᾽ ἀγαθοῦ οὔτ᾽ ἂρ τρέπεται χρώς, οὔτε τι λίην
ταρβεῖ, ἐπειδὰν πρῶτον ἐσίζηται λόχον ἀνδρῶν,
ἀρᾶται δὲ τάχιστα μιγήμεναι ἐν δαῒ λυγρῇ —
οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο.
εἴ περ γάρ κε βλεῖο πονεύμενος ἠὲ τυπείης,
οὐκ ἂν ἐν αὐχέν᾽ ὄπισθε πέσοι βέλος οὐδ᾽ ἐνὶ νώτῳ,
ἀλλά κεν ἢ στέρνων ἢ νηδύος ἀντιάσειεν
πρόσσω ἱεμένοιο μετὰ προμάχων ὀαριστύν.
ἀλλ᾽ ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὥς

276. *εἰ γὰρ — λεγοίμεθα* wird erklärt durch Od. ω, 108. *οὐδέ κεν ἄλλως κρινάμενος λέξαιτο κατὰ πτόλιν ἄνδρας ἀρίστους.*

277. *μάλιστα — διαείδεται* vgl. μ, 103. *εἴσαντο διακριδὸν εἶναι ἄριστοι.*

279. *ἄλλυδις ἄλλῃ* hierhin und dorthin, d. h. in alle Richtungen (nimmt alle Farben an) vgl. zu Od. ε, 369.

281. *ἐπ᾽ ἀμφ. πόδας ἵζει* ist die Erklärung von *ὀκλάζει*; durch *μετά* aber wird angezeigt, dass er, weil er eben nicht still sitzen kann, auch diese Stellung öfters verändere, er kauert immer wieder anders wohin (indem er es gar nicht wagt aufzustehen).

282. *μεγάλα* mächtig, heftig, ungestüm.

283. *κῆρας ὀιομένῳ.* Vgl. Od. ε, 379. *πολλὰ δέ οἱ κραδίη προτιόσσετ᾽ ὄλεθρον* = κ, 374. *κατὰ δ᾽ ὄσσετο θυμός.*

286. *ἀρᾶται — μιγήμεναι.* Ein Beispiel giebt Neoptolemos Od. λ, 530 f., von dem es heisst: *ὁ δέ με μάλα πόλλ᾽ ἱκέτευεν ἱππόθεν ἐξίμεναι.*

287. *οὐδέ κεν ἔνθα — ὄνοιτο* erg. *τὶς*, es könnte einer oder man könnte nicht schelten.

288. *βλεῖο — τυπείης.* Vgl. Od. λ, 535 f. *βεβλημένος — αὐτοσχεδίην οὐτασμένος.*

291. *πρόσσω ἱεμένοιο* erg. *σέο*, das dann von *στέρνων ἢ νηδύος* abhängt Zu *ἱεμένοιο* gehört *μετὰ προμ. ὀαριστύν* in der vordersten Kämpfer Gemeinschaft (in welcher allein es dem Tapfern recht gemüthlich und heimisch ist, oder in ihrem traulichen Verkehr, wohin es dich gleichsam zieht).

292. *μηκέτι ταῦτα λεγώμεθα* vgl. zu Od. γ, 240., zu *νηπύτιοι ὥς ἑσταότες* auch υ, 244., aber hier gehören jene Worte unmittelbar zusammen.

ἑσταότες, μή πού τις ὑπερφιάλως νεμεσήσῃ· 13
ἀλλὰ σύ γε κλισίηνδε κιὼν ἕλευ ὄβριμον ἔγχος.»
ὣς φάτο, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηι
καρπαλίμως κλισίηθεν ἀνείλετο χάλκεον ἔγχος,
βῆ δὲ μετ᾽ Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώς.
οἷος δὲ βροτολοιγὸς Ἄρης πόλεμόνδε μέτεισιν,
τῷ δὲ φόβος φίλος υἱὸς ἅμα κρατερὸς καὶ ἀταρβής
ἕσπετο, ὅς τ᾽ ἐφόβησε ταλάφρονά περ πολεμιστήν·
τὼ μὲν ἄρ᾽ ἐκ Θρήκης Ἐφύρους μέτα θωρήσσεσθον
ἠὲ μετὰ Φλεγύας μεγαλήτορας· οὐδ᾽ ἄρα τώ γε
ἔκλυον ἀμφοτέρων, ἑτέροισι δὲ κῦδος ἔδωκαν·
τοῖοι Μηριόνης τε καὶ Ἰδομενεὺς ἀγοὶ ἀνδρῶν
ἤισαν ἐς πόλεμον κεκορυθμένοι αἴθοπι χαλκῷ.
τὸν καὶ Μηριόνης πρότερος πρὸς μῦθον ἔειπεν.
«Δευκαλίδη, πῇ τ᾽ ἂρ μέμονας καταδῦναι ὅμιλον;
ἢ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἦ ἀνὰ μέσσους,
ἦ ἐπ᾽ ἀριστερόφιν; ἐπεὶ οὔ ποθι ἔλπομαι οὕτως

299. *φόβος φίλος υἱός* vgl. zu ϑ, 440. Die Vergleichung ist sehr passend. *Φόβος* ist gleichsam auch der Schildknappe, Waffenträger des Ares.

301. *ἐκ Θρήκης* als seinem gewöhnlichen Wohnsitze, vgl. Od. *ϑ*, 361. *Θρήκηνδε βεβήκει* Virg. Aen. 3, 35. *Gradivum patrem, Geticis qui praesidet arvis.* — *Ἐφύρους μέτα — ἠὲ μετὰ Φλεγύας.* Namen kriegerischer thessalischer Völkerschaften, denen die Thraker häufig in das Land einfielen. Vgl. Strabo IX. S. 324 Kramer (vgl. VII. S. 77.) *τοὺς μὲν γὰρ Γυρτωνίους Φλεγύας πρότερον ἐκάλουν ἀπὸ Φλεγύου τοῦ Ἰξίονος ἀδελφοῦ, τοὺς δὲ Κραννωνίους Ἐφύρους.*

302 f. *οὐδ᾽ — ἔκλυον ἀμφοτέρων* d. h. Ares verleiht beiden, den Ephyrern und Phlegyern, den Sieg nicht, sondern den Andern, ihren Gegnern (den ihm befreundeten Thrakern). — Der Satz *ἑτέροισι κῦδος ἔδωκαν* giebt eine umschreibende Erklärung des sonst auch von Homer gebrauchten Ausdruckes *ἑτεραλκὴς νίκη*.

306. *τὸν καὶ Μηριόνης. καί* drückt die Uebereinstimmung der nun anzuführenden Worte des Meriones mit seiner schon vorher bezeichneten entschlossenen und kriegerischen Stimmung aus.

307. *Δευκαλίδη* vgl. zu Od. *α*, 8. *Ὑπερίονος ἠελίοιο.* Il. *δ*, 488. *Ἀνθεμίδην.* — Zu *πῇ τ᾽ ἄρ* vgl. Od. *α*, 346. *τί τ᾽ ἄρα φθονέεις.*

308. *ἢ ἐπὶ δεξιόφιν* (*δεξιᾶς*). Durch *ἦ — ἦ — ἦ* (vgl. zu Od. *α*, 175.) werden alle drei Fragen, eine von der andern unabhängig, einander ganz gleichgestellt. Lehrs: *„Quo loco irrues? dextrorsumne an in medios an sinistrorsum?“*

309. *οὔ ποθι οὕτως* nirgends, auf keinem Puncte so sehr, wie nämlich auf dem letztgenannten, zur Linken vgl. 326., wo *λ*, 498.

δευέσθαι πολέμοιο καρηκομόωντας Ἀχαιούς.»
τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα
«νηυσὶ μὲν ἐν μέσσῃσιν ἀμύνειν εἰσὶ καὶ ἄλλοι,
Αἴαντές τε δύω Τεῦκρός θ', ὃς ἄριστος Ἀχαιῶν
τοξοσύνῃ, ἀγαθὸς δὲ καὶ ἐν σταδίῃ ὑσμίνῃ·
οἵ μιν ἄδην ἐλόωσι καὶ ἐσσύμενον πολέμοιο,
Ἕκτορα Πριαμίδην, καὶ εἰ μάλα καρτερός ἐστιν.
αἰπύ οἱ ἐσσεῖται, μάλα περ μεμαῶτι μάχεσθαι,
κείνων νικήσαντι μένος καὶ χεῖρας ἀάπτους
νῆας ἐνιπρῆσαι, ὅτε μὴ αὐτός γε Κρονίων
ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῇσιν.
ἀνδρὶ δέ κ' οὐκ εἴξειε μέγας Τελαμώνιος Αἴας,
ὃς θνητός τ' εἴη καὶ ἔδοι Δημήτερος ἀκτήν,
χαλκῷ τε ῥηκτὸς μεγάλοισί τε χερμαδίοισιν.

auch der gefürchtete Hektor kämpfte (natürlich nach der Stellung der Achäer).

310. *δευέσθαι πολέμοιο* des Kampfes ermangeln d. h. es am rechten Kampfe fehlen lassen, im Kampfe nachstehen, darin zurück und im Nachtheil sein, *bello inferiorem esse*, vgl. ρ, 142. *μάχης ἄρα πολλὸν ἐδεύεο.*

312. *νηυσὶ μὲν ἐν μέσσῃσιν.* Da in der Frage des Meriones 308 f. drei mögliche Angriffspuncte einander entgegengesetzt werden und Idomeneus unten 326. nur noch von dem zur Linken spricht, so sollte hier ausser dem in der Mitte der Schiffe auch noch der zur Rechten (des achäischen Heeres) besprochen werden. Dieser scheint aber unter dem andern *ἐν μέσαις ναυσίν* mitbegriffen zu sein, so dass diess ist s. v. a. in der Mitte der Schiffe und weiterhin (zur Rechten). Der Angriff der Troer scheint überhaupt nie auf die rechte Seite des achäischen Lagers gerichtet worden zu sein, weil dort Achilleus lag und man voraussetzte oder der Dichter sich von der Voraussetzung leiten lässt, dass dies seiner Unthätigkeit gegenüber dem Feinde sofort ein Ende gemacht haben würde. Dadurch aber wurde die Mitte des Schiffslagers gewissermassen zur rechten Seite. — Zu *ἀμύνειν εἰσὶ καὶ ἄλλοι* vgl. Od. *β*, 58 — 60.

313. *Αἴαντες — Τεῦκρός τε*, welche auch *μ*, 335. bei einander waren, damals aber in der Nähe des auf der Linken befindlichen Thores standen und sich dann eben in jener Stelle mehr gegen die Mitte hin begaben

315. *μιν*, Vorläufer des nachfolgenden Namens *Ἕκτορα Πριαμίδην*, dessen Person den achäischen Führern immer vorschwebt. — *ἄδην ἐλόωσι — πολέμοιο*, vgl. zu Od. *ε*, 290., wo auch ein Genitiv auf *ἄδην ἐλάαν* folgt. — *καὶ ἐσσύμενον* absolut hat ungefähr den Sinn wie 317. *μάλα περ μεμαῶτι μάχεσθαι.*

317. *αἰπύ* figürlich wie *arduum* = *δυσπρόσβατον, δυσχερές.*

321. *ἀνδρὶ δέ* d. i. einem blossen Sterblichen, wie auch Hektor ist, im Gegensatze des Kronion, vgl. Od. *δ*, 78 - 80.

ὐδ᾽ ἂν Ἀχιλλῆι ῥηξήνορι χωρήσειεν 13
ἐν γ᾽ αὐτοσταδίῃ· ποσὶ δ᾽ οὔ πως ἔστιν ἐρίζειν.
ώιν δ᾽ ὧδ᾽ ἐπ᾽ ἀριστέρ᾽ ἔχε στρατοῦ, ὄφρα τάχιστα
ἴδομεν ἠέ τῳ εὖχος ὀρέξομεν ἠέ τις ἡμῖν.»
ὣς φάτο, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηι
ἦρχ᾽ ἴμεν, ὄφρ᾽ ἀφίκοντο κατὰ στρατόν, ᾗ μιν ἀνώγει.
οἱ δ᾽ ὡς Ἰδομενῆα ἴδον φλογὶ εἴκελον ἀλκήν,
ὐτὸν καὶ θεράποντα, σὺν ἔντεσι δαιδαλέοισιν,
εκλόμενοι καθ᾽ ὅμιλον ἐπ᾽ αὐτῷ πάντες ἔβησαν.
ῶν δ᾽ ὁμὸν ἵστατο νεῖκος ἐπὶ πρύμνῃσι νέεσσιν.
ὃς δ᾽ ὅθ᾽ ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι
ἤματι τῷ ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθους,
οἵ τ᾽ ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὀμίχλην,
ὣς ἄρα τῶν ὁμόσ᾽ ἦλθε μάχη, μέμασαν δ᾽ ἐνὶ θυμῷ
ἀλλήλους καθ᾽ ὅμιλον ἐναιρέμεν ὀξέι χαλκῷ.
ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσιν
μακρῇς, ἃς εἶχον ταμεσίχροας· ὄσσε δ᾽ ἄμερδεν

325. *ποσὶ — ἐρίζειν* erg. *Ἀχιλεῖ*, der daher auch vorzugsweise das Epitheton *πόδας ὠκύς* oder *ποδώκης* hat.

326. *νῶϊν δ᾽ ὧδ᾽ ἐπ᾽ ἀρ. ἔχε στρατοῦ* uns aber schlage so den Weg nach der Linken des Heeres hin, lenke unsern Schritt dahin. Sowohl aus diesem *νῶϊν ἔχε* als aus 329. *ἦρχ᾽ ἴμεν* ergiebt sich, dass Meriones als Waffenträger seinem Gebieter vorausgehen und Bahn brechen musste. Noch passender wäre freilich jenes *νῶιν ἔχε*, wenn wir uns Meriones als **Wagenlenker** denken könnten.

329. *κατὰ στρατόν* an **den** Punct des Heeres (Lagers), wohin jener verlangte.

333. *ὁμὸν ἵστατο νεῖκος* s. v. a. *ὁμόσε ἐρχομένων ἵστατο νεῖκος* der Kampf stellte sich, begann bei ihrem Zusammentreten; vgl. 336. *ἄμυδις* (= 343.) *ἱστᾶσιν* und 337. *ὁμόσ᾽ ηλθε μάχη*.

334. *σπέρχωσιν* intransitiv, wie sonst das Medium: vgl. Od. *γ*, 283. *ὁπότε σπερχοίατ᾽ ἄελλαι*. — *ἄελλαι* Stürme, Sturmwirbel, mit besonderer Rücksicht auf die durch dieselben aufgeweheten **Staubwirbel**, vgl. *γ*, 13. *κονίσαλος ὤρνυτ᾽ ἀελλής* und *ψ*, 365 f. ***κονίη** ἵστατ᾽ ἀειρομένη **ὥστε** νέφος ἠὲ **θύελλα***.

335. *ἤματι τῷ* zu der Zeit wann u. s. w., d. h. während der Hundstage, da durch die Hitze des Sirius und das Wehen der Passatwinde Alles ausgedörrt ist. Zu *ὅτε τε* ergänze *ᾖ* wie *ε*, 481.

336. *οἵ τε* näml. *ἄνεμοι λιγεῖς*.

337. *ὣς* so plötzlich und mit solchem Ungestüm aufeinander eindringend.

339. *ἔφριξεν — ἐγχείῃσιν* vgl. *δ*, 282. *φάλαγγες — ἔγχεσι πεφρικυῖαι* und *η*, 62. Den entsprechenden Gebrauch von *horrere* zeigt schon Ennius in dem von Macrobius angeführten kunstlosen Verse: *Sparsis **hastis** longis **campus** splendet et **horret**.*

13 αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων
θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν
ἐρχομένων ἄμυδις. μάλα κεν θρασυκάρδιος εἴη
ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ᾿ ἀκάχοιτο.
τὼ δ᾿ ἀμφὶς φρονέοντε δύω Κρόνου υἷε κραταιώ
ἀνδράσιν ἡρώεσσιν ἐτεύχετον ἄλγεα λυγρά.
Ζεὺς μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι βούλετο νίκην,
κυδαίνων Ἀχιλῆα πόδας ταχύν· οὐδ᾿ ὅ γε πάμπαν
ἤθελε λαὸν ὀλέσθαι Ἀχαιικὸν Ἰλιόθι πρό,
ἀλλὰ Θέτιν κύδαινε καὶ υἱέα καρτερόθυμον.
Ἀργείους δὲ Ποσειδάων ὀρόθυνε μετελθών,
λάθρῃ ὑπεξαναδὺς πολιῆς ἁλός· ἤχθετο γάρ ῥα
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα.
ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ᾿ ἴα πάτρη,

343. *ἐρχομένων ἄμυδις* ist Masculinum und geht auf die beiden kämpfenden Theile. — *μάλα κεν θρασυκάρδιος κτέ.* d. h. selbst ein sehr verwegener und rauhherziger Krieger hätte sich über einen so blutigen Kampf entsetzen müssen.

345. *τὼ δ᾿ ἀμφὶς φρονέοντε.* Der Sinn dieses Abschnittes bis 360. ist im Allgemeinen: Aber so schrecklich und Entsetzen erregend der Kampf war, so musste er doch noch geraume Zeit fortgesetzt werden; denn zwei mächtige Götter, Zeus und Poseidon, wollten es und betrieben ihn selbst. Zu *ἐτεύχετον* vgl. *κ*, 364. *διώκετον.*

347. *Ζεὺς — βούλετο.* Dieser allgemeine Wille des Zeus dauert und wirkt unsichtbar fort, obgleich der Gott nach 1—9. für den Moment seine Augen vom Kampfe bei Ilios abgewandt hat.

348. *οὐδέ γε πάμπαν* aber keineswegs, doch gar nicht etwa.

349. *Ἰλιόθι πρό* allgemein: in dem Kampfe v o r I l i o s, wo der ganze troianische Krieg seinen Schauplatz hatte. Der überall griechisch gesinnte Dichter will hierdurch andeuten, dass Zeus selbst keineswegs eigentlich den Achäern feindselig, noch ein Freund der Troer, sondern seine Parteistellung nur durch das der Thetis gegebene Versprechen bedingt war.

351. *ὀρόθυνε* wird erklärt durch 357. *αἰὲν ἔγειρε.*

352. *λάθρῃ — ἁλός* ist natürlich nicht auf die majestätische Fahrt über das Meer 23 — 31., sondern nur auf das geheimnissvolle Erscheinen u n t e r d e m H e e r e d e r A c h ä e r (44 f. *βαθείης ἐξ ἁλὸς ἐλθὼν εἰσάμενος Κάλχαντι*) zu beziehen. Denn dass Poseidon mit seinem Prachtwagen bis unter die Achäer gekommen sei, wollte wohl der Dichter nirgends sagen.

352. *ἤχθετο — δαμναμένους* es verdross ihn (zu sehen), dass sie von den Troern bezwungen wurden. Zur Construction vgl. *θ*, 377 f. *νῶι — γηθήσει προφανείσα* und *ε*, 361.

354. *ἦ μὰν ἀμφοτέροισιν.* Der Dichter will gleichsam den Poseidon entschuldigen, dass er nicht mehr für die Achäer ausrichtete. *πάτρη* hier synonym mit *γένος*, Stamm, Verwandtschaft (vom Vater, den Eltern her).

λλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδη.
ῷ ῥα καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινεν,
άθρῃ δ᾽ αἰὲν ἔγειρε κατὰ στρατόν, ἀνδρὶ ἐοικώς.
οὶ δ᾽ ἔριδος κρατερῆς καὶ ὁμοιΐου πολέμοιο
εῖραρ ἐπαλλάξαντες ἐπ᾽ ἀμφοτέροισι τάνυσσαν,
ρρηκτόν τ᾽ ἄλυτόν τε, τὸ πολλῶν γούνατ᾽ ἔλυσεν.
ἔνθα, μεσαιπόλιός περ ἐών, Δαναοῖσι κελεύσας
δομενεὺς Τρώεσσι μετάλμενος ἐν φόβον ὦρσεν.
έφνε γὰρ Ὀθρυονῆα Καβησόθεν ἔνδον ἐόντα,
ς ῥα νέον πολέμοιο μετὰ κλέος εἰληλούθει,
τεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην
Κασσάνδρην ἀνάεδνον, ὑπέσχετο δὲ μέγα ἔργον,
ι Τροίης ἀέκοντας ἀπωσέμεν υἷας Ἀχαιῶν.
ῷ δ᾽ ὁ γέρων Πρίαμος ὑπό τ᾽ ἔσχετο καὶ κατένευσεν
ωσέμεναι· ὁ δὲ μάρναθ᾽ ὑποσχεσίῃσι πιθήσας.
δομενεὺς δ᾽ αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
αὶ βάλεν ὕψι βιβάντα τυχών· οὐδ᾽ ἤρκεσε θώρηξ

355. πλείονα ᾔδη wie τ, 219. ‍lysseus von sich in Vergleichung it Achilleus sagt ἐπεὶ πρότερος νόμην καὶ πλείονα οἶδα. Das gentliche Wissen beruht auf Erhrung; diese aber wächst mit m Leben.

358—360. τοὶ δ᾽ — ἔλυσεν. Geeigerte Wiederholung des schon 5. ausgesprochenen Gedankens. ie wir nämlich schon zu η, 102. merkten, werden die Geschicke r Sterblichen oft mit einem Fan oder Seile verglichen, der von n Göttern bereitet und über jenen fgehängt oder ausgespannt wird: gl. auch λ, 336. υ, 101.). Weil n hier zwei Götter die Fortdauer s Kampfes beschlossen haben, so isst es, sie haben das Seil oder u des Krieges und Streites über nander geschlungen, geflochten ταλλάξαντες, denn jeder Gott hat in eigenes πεῖραρ ἔριδος καὶ πομ.), und so als ein unauflöslich stes (Od. ϑ, 275.) über beide kämpfende Völker gespannt. So lange dieses πεῖραρ gespannt blieb, musste die Völker fortkämpfen.

363. ἔνδον ἐόντα d. i. παρόντα, ἐνδημοῦντα, der nach Troia als Gast und Verbündeter gekommen war. Vgl. ο, 438. Κυθηρόθεν ἔνδον ἐόντα.

364. πολέμοιο μετὰ κλέος vgl. λ, 227. μετὰ κλέος ἵκετ᾽ Ἀχαιῶν.

365. θυγατρῶν εἶδος ἀρίστην. So wird ζ, 252. Laodike bezeichnet.

366. ἀνάεδνον, ὑπέσχετο δὲ μ. ἔ. Durch ἀνάεδνον (vgl. 2, 146. und 1 Sam. 18, 25.) soll wohl eine niedrig eigennützige Gesinnung bezeichnet werden, indem ja selbst die Freier der Penelope es an Brautgeschenken nicht fehlen liessen (Od. σ, 290—301). Das ὑπέσχετο μέγα ἔργον aber deutet auf Grosssprecherei hin. Auf beides bezieht sich die höhnische Spottrede des Idomeneus 347—382.

371. ὕψι βιβάντα, Ausdruck der stolzen Selbstgefälligkeit.

χάλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐν γαστέρι πῆξεν.
δούπησεν δὲ πεσών· ὁ δ' ἐπεύξατο φώνησέν τε
«Ὀθρυονεῦ, περὶ δή σε βροτῶν αἰνίζομ' ἁπάντων,
εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις ὅσ' ὑπέστης
Δαρδανίδῃ Πριάμῳ· ὁ δ' ὑπέσχετο θυγατέρα ἥν.
καί κέ τοι ἡμεῖς ταῦτά γ' ὑποσχόμενοι τελέσαιμεν,
δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδος ἀρίστην,
Ἄργεος ἐξαγαγόντες, ὀπυιέμεν, εἴ κε σὺν ἄμμιν
Ἰλίου ἐκπέρσῃς εὐναιόμενον πτολίεθρον.
ἀλλ' ἕπευ, ὄφρ' ἐπὶ νηυσὶ συνώμεθα ποντοπόροισιν
ἀμφὶ γάμῳ, ἐπεὶ οὔ τοι ἐεδνωταὶ κακοί εἰμεν.»
ὣς εἰπὼν ποδὸς ἕλκε κατὰ κρατερὴν ὑσμίνην
ἥρως Ἰδομενεύς. τῷ δ' Ἄσιος ἦλθεν ἀμύντωρ
πεζὸς πρόσθ' ἵππων· τὼ δὲ πνείοντε κατ' ὤμων
αἰὲν ἔχ' ἡνίοχος θεράπων. ὁ δὲ ἵετο θυμῷ
Ἰδομενῆα βαλεῖν· ὁ δέ μιν φθάμενος βάλε δουρί
λαιμὸν ὑπ' ἀνθερεῶνα, διαπρὸ δὲ χαλκὸν ἔλασσεν.
ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωίς
ἠὲ πίτυς βλωθρή, τήν τ' οὔρεσι τέκτονες ἄνδρες
ἐξέταμον πελέκεσσι νεήκεσι νήιον εἶναι·
ὣς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθείς,

377. *ὑποσχόμενοι τελέσαιμεν* vgl. zu Od. *ο*, 195. Das folgende *δοῖμεν δέ* enthält die Erklärung dazu, so dass *κε* auch zu demselben gehört: wir w o l l e n versprechen und — geben.

381. *συνώμεθα* (*ἵημι* vgl. *χ*, 261. *συνημοσύνας*). In *ἕπευ* liegt eine spottende Hinweisung auf *ποδὸς ἕλκε* 383.

382. *ἐεδνωταί* Verwandte, welche die *ἔεδνα* (*ἕδνα*) in Empfang nehmen und dagegen das Mädchen verloben. Vgl. Od. *β*, 53. von Ikarios: *ὥς κ' αὐτὸς ἐεδνώσαιτο θύγατρα*.

384. *Ἄσιος* vgl. *μ*, 110—117., wo schon auf den hier erzählten Tod desselben hingewiesen ist. Auch er erscheint als Grosssprecher und Prahler und wird als solcher auch durch den Zug charakterisirt, däs er, der zuerst mit dem Wagen hatt in die Mauer eindringen wolle (*μ*, 110—112. 118 ff.) jetzt zu Fus vor seinem Wagen einhergeht; vgl auch zu *μ*, 137. — *κατ' ὤμων* erg *Ἀσίου*.

389. *ἀχερωίς* nach Pausan. 5 14, 3. derselbe Baum, der sons *λεύκη*, Weiss- oder Silberpappe heisst; es kann aber auch di Schwarzpappel (anderswo bei Ho mer, z. B. Od. *ε*, 239. *αἴγειρος* bezeichnen.

390. *τήν τε* geht nur auf di *πίτυς*, wenn schon auch Eichenhol zu Schiffstheilen, z. B. den Rippe und dem Kiele, gebraucht wurde In Betreff der Grösse des Asio vgl. *μ*, 136.

βρυχώς, κόνιος δεδραγμένος αἱματοέσσης. 13
δέ οἱ ἡνίοχος πλήγη φρένας, ἃς πάρος εἶχεν·
ιδ' ὅ γ' ἐτόλμησεν, δηίων ὑπὸ χεῖρας ἀλύξας,
ψ ἵππους στρέψαι. τὸν δ' Ἀντίλοχος μενεχάρμης
υρὶ μέσον περόνησε τυχών· οὐδ' ἤρκεσε θώρηξ
ιλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐν γαστέρι πῆξεν.
ιτὰρ ὅ γ' ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου,
ιπους δ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱός,
έλασε Τρώων μετ' ἐυκνήμιδας Ἀχαιούς.
Δηίφοβος δὲ μάλα σχεδὸν ἤλυθεν Ἰδομενῆος,
σίου ἀχνύμενος, καὶ ἀκόντισε δουρὶ φαεινῷ.
λ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
ομενεύς· κρύφθη γὰρ ὑπ' ἀσπίδι πάντοσ' ἐίσῃ,
ν ἄρ' ὅ γε ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῷ
νωτὴν φορέεσκε, δύω κανόνεσσ' ἀραρυῖαν·
ὕπο πᾶς ἐάλη, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος,
ρφαλέον δέ οἱ ἀσπὶς ἐπιθρέξαντος ἄυσεν
χεος. οὐδ' ἅλιόν ῥα βαρείης χειρὸς ἀφῆκεν,
λ' ἔβαλ' Ἱππασίδην Ὑψήνορα, ποιμένα λαῶν,
ιαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσεν.

393. *δεδραγμένος* die Hand ge-
lt (habend). Jedes der drei Par-
pia (*τάνυσθείς, βεβρυχώς, δε-
ιγμένος*) steht in einer beson-
n Beziehung zum Verbum.
394. *ἃς πάρος εἶχεν* scheint nur
Ausfüllung des Verses zu die-
, da es sich in gewöhnlicher
le von selbst verstehen würde.
395. *οὐδ' — ἐτόλμησεν* er wagte
nicht, d. h. er hatte nicht die
sonnenheit, war nicht entschlos-
genug, vermochte es nicht.
— *ἀλύξας* musste dem *ἵππους*
ρέψαι vorangehen; er musste
zuerst dem Bereich der feind-
hen Waffen entziehen.
397 f. *τυχών — πῆξεν* wie oben
..
406. *τὴν ἄρ' ὅ γε*. Man bemerke *ἄρα* nach dem Pronomen relativum, wie 443. *ἥ ῥά οἱ*. — *ῥινοῖσι — καὶ χαλκῷ δινωτὴν* scheint eine Art Zeugma zu sein: mit Rindshäuten und gedrechseltem Silber belegt, vgl. zu Od. *τ*, 56.

408. *τῇ ὕπο — ἐάλη* vgl. Virg. Aen. 12, 490. *et se collegit in arma Poplite subsidens.*

409. *καρφαλέον — ἄυσεν* wie sonst *αὖον ἄυσεν* (*μ*, 160. und unten 441.). *ἐπιθρέξαντος — ἔγχεος* wie vorher *ὑπέρπτατο*, doch liegt darin, dass die Lanzenspitze den Schild im Darüberfliegen auch berührte.

411 f. *ἀλλ' ἔβαλ' — ἔλυσεν*. Eine ähnliche Stelle war *λ*, 578 f., eine andere kommt *ϱ*, 348 f., vgl. Einleit. S. 3.

13 Δηίφοβος δ' ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀύσας·
«οὐ μὰν αὖτ' ἄτιτος κεῖτ' Ἄσιος, ἀλλά ἕ φημι
εἰς Ἄιδός περ ἰόντα πυλάρταο κρατεροῖο
γηθήσειν κατὰ θυμόν, ἐπεί ῥά οἱ ὤπασα πομπόν.»
ὣς ἔφατ', Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο,
Ἀντιλόχῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
ἀλλ' οὐδ' ἀχνύμενός περ ἑοῦ ἀμέλησεν ἑταίρου,
ἀλλὰ θέων περίβη καί οἱ σάκος ἀμφεκάλυψεν.
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
Μηκιστεὺς Ἐχίοιο πάις καὶ δῖος Ἀλάστωρ,
νῆας ἔπι γλαφυρὰς φερέτην βαρέα στενάχοντα·
Ἰδομενεὺς δ' οὐ λῆγε μένος μέγα, ἵετο δ' αἰεί
ἠέ τινα Τρώων ἐρεβεννῇ νυκτὶ καλύψαι
ἢ αὐτὸς δουπῆσαι ἀμύνων λοιγὸν Ἀχαιοῖς.
ἔνθ' Αἰσυήταο διοτρεφέος φίλον υἱόν,
ἥρω' Ἀλκάθοον — γαμβρὸς δ' ἦν Ἀγχίσαο,
πρεσβυτάτην δ' ὤπυιε θυγατρῶν Ἱπποδάμειαν,
τὴν περὶ κῆρι φίλησε πατὴρ καὶ πότνια μήτηρ
ἐν μεγάρῳ· πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο
κάλλεϊ καὶ ἔργοισιν ἰδὲ φρεσί· τοὔνεκα καί μιν

413. *Δηίφοβος.* Deiphobos tritt, so wie sich Hektor seiner Katastrophe nähert, immer mehr als einer der bedeutendsten Helden der Trojaner hervor.

419—423. *ἀλλ' οὐδ' — στενάχοντα.* Diese Verse lauten mit Ausnahme des ersten wörtlich gleich mit *θ*, 330—334., wo merkwürdiger Weise die zwei gleichen Männer auch den verwundeten Teukros aus der Schlacht tragen. Zu *βαρέα στενάχοντα* vgl. noch 538. *ξ*, 432. Hypsenor war nämlich noch nicht todt, sondern nur schwer verwundet, so dass ihn Deiphobos für todt halten konnte.

424. *οὐ λῆγε μένος* vgl. *φ*, 305. *οὐδὲ Σκάμανδρος ἔληγε τὸ ὃν μένος.*

426. *δουπῆσαι* (todt, sterbend) hinzustürzen, wie 442. u. a. *δ*
πησεν πεσών. ψ, 679. *δεδουπό*
Οἰδιπόδαο. — Natürlich wollte I
meneus dieses (*αὐτὸς δουπῆ*
nur, wenn er das erstere (*Τρω*
τινα — καλύψαι) nicht kom
oder er wollte es selbst auf Ge
von jenem.

427. *Αἰσυήταο* vgl. *β*, 793., n
welcher Stelle man den Aesy
einem frühern Zeitalter zuschrei
würde. Der Sohn Alkathoos I
auch *μ*, 93. unter den Führern
zweiten Abtheilung beim An
auf die Mauer vor. Uebrigens w
der hier angefangene Satz erst 4
wieder aufgenommen und vol
det; hier schwebte dem Sprech
den wohl nur das Prädicat *ἐ*
μασσεν Ἰδομενεύς vor.

432. *κάλλεϊ — ἰδὲ φρεσίν* vg

μεν ἀνὴρ ὥριστος ἐνὶ Τροίῃ εὐρείῃ.
ν τόθ' ὑπ' Ἰδομενῆι Ποσειδάων ἐδάμασσεν
λξας ὄσσε φαεινά, πέδησε δὲ φαίδιμα γυῖα·
τε γὰρ ἐξοπίσω φυγέειν δύνατ' οὔτ' ἀλέασθαι,
?' ὥς τε στήλην ἢ δένδρεον ὑψιπέτηλον
ρέμας ἑσταότα στῆθος μέσον οὔτασε δουρί
ως Ἰδομενεύς, ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα
λκεον, ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἤρκει ὄλεθρον·
τότε γ' αὖον ἄυσεν ἐρεικόμενος περὶ δουρί.
ύπησεν δὲ πεσών, δόρυ δ' ἐν κραδίῃ ἐπεπήγει,
ῥά οἱ ἀσπαίρουσα καὶ οὐρίαχον πελέμιζεν
εος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.
ομενεὺς δ' ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀύσας.
ηίφοβ', ἦ ἄρα δή τι ἐίσκομεν ἄξιον εἶναι
ῖς ἑνὸς ἀντὶ πεφάσθαι; ἐπεὶ σύ περ εὔχεαι οὕτως,
μόνι'. ἀλλὰ καὶ αὐτὸς ἐναντίον ἵστασ' ἐμεῖο,
ρα ἴδῃ οἷος Ζηνὸς γόνος ἐνθάδ' ἱκάνω,

. *οὐ δέμας οὐδὲ φυήν, οὔτ' ἄρ ίνας οὔτε τι ἔργα*, wo also der riff von *κάλλος* in zwei ihm un-eordnete (*δέμας* und *φυή*) auf-st ist.

35. *θέλξας ὄσσε φαεινά* indem m die klaren, hellen Augen ver-rte (ihnen durch irgend eine über-irliche Einwirkung, eine Art Zau-die Sehkraft raubte).

37. *ὥς τε στήλην ἢ δένδρεον* zu verbinden mit *ἑσταότα* erg.

39. *ῥῆξεν — ἀμφὶ χιτῶνα. ἀμφί* erbium zu *ῥῆξεν*, scheint hier bedeuten was sonst *ἀμφίς*, ent-i, auseinander. *χιτὼν χάλκεος*, att des *θώραξ:* ein ledernes, Erz beschlagenes Koller.

41. *ἐρεικόμενος* Onomatopoeie = νύμενος oder *ῥησσόμενος, σχι-ενος*. Vgl. ρ, 295. *ἤρικε δ' ἱπ-άσεια κόρυς περὶ δουρὸς ἀκωκῇ.*

43. *οὐρίαχος* auch *οὔραχος*, Ver-erung von *οὐρά* (wofür auch *τὸ χῖον*), wie *νηπίαχος* von *νήπιος*.

Die zuckende Bewegung des Herzens wurde auch noch am hintersten Ende und Beschläge des Lanzenschaftes sichtbar, d. h. die Erschütterungen der Lanze trafen mit den Zuckungen des Herzens genau zusammen.

444. *ἔνθα — ἀφίει μένος — Ἄρης* da verlor seine Kraft der gewaltige Ares, die verderbende Kraft der Lanze hörte nun auf, nachdem sie ihre volle Wirkung gethan und der von ihr getroffene Alkathoos ausgeröchelt hatte.

446. *ἦ ἄρα δή τι ἐίσκομεν — πεφάσθαι* schätzen wir (Achäer) wohl, es sei ein entsprechender Entgelt, ein genügender Ersatz, dass drei für Einen getödtet sind, nämlich Othryoneus (363), Asios (387) und Alkathoos (434) statt des Einen Hypsenor (411). Zu *ἐίσκομεν ἄξιον* vgl. φ, 331 f. *ἄντα σέθεν Ξάνθον ἠίσκομεν εἶναι.*

447. *ἐπεὶ σύ περ εὔχεαι οὔτ.* Zurückweisung auf 413—416.

13 ὃς πρῶτον Μίνωα τέκε Κρήτῃ ἐπίουρον·
Μίνως δ᾽ αὖ τέκεθ᾽ υἱὸν ἀμύμονα Δευκαλίωνα,
Δευκαλίων δ᾽ ἐμὲ τίκτε πολέσσ᾽ ἄνδρεσσιν ἄνακτα
Κρήτῃ ἐν εὐρείῃ· νῦν δ᾽ ἐνθάδε νῆες ἔνεικαν
σοί τε κακὸν καὶ πατρὶ καὶ ἄλλοισι Τρώεσσιν.»
ὣς φάτο· Δηίφοβος δὲ διάνδιχα μερμήριξεν,
ἤ τινά που Τρώων ἑταρίσσαιτο μεγαθύμων
ἂψ ἀναχωρήσας, ἦ πειρήσαιτο καὶ οἶος.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
βῆναι ἐπ᾽ Αἰνείαν. τὸν δ᾽ ὕστατον εὗρεν ὁμίλου
ἑσταότ᾽· αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ,
οὕνεκ᾽ ἄρ᾽ ἐσθλὸν ἐόντα μετ᾽ ἀνδράσιν οὔ τι τίεσκεν.
ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντα προσηύδα.
«Αἰνεία Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ
γαμβρῷ ἀμυνέμεναι, εἴ πέρ τί σε κῆδος ἱκάνει.
ἀλλ᾽ ἕπευ, Ἀλκαθόῳ ἐπαμύνομεν, ὅς σε πάρος περ
γαμβρὸς ἐὼν ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα·
τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν.»
ὣς φάτο, τῷ δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν,
βῆ δὲ μετ᾽ Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώς.
ἀλλ᾽ οὐκ Ἰδομενῆα φόβος λάβε τηλύγετον ὥς,

450. *Κρήτῃ ἐπίουρον.* Vgl. zu Od. ν, 405. *ὑῶν ἐπίουρος.* Die meisten Alten erklären indess *ἐπίουρος* durch *φύλαξ* oder *ἐπίσκοπος.*

454. *καὶ πατρὶ* weil er vielleicht seinen Sohn durch mich verlieren wird.

456. *ἑταρίσσαιτο* = *συνεργὸν λάβοι*, wie κ, 242. *ἕταρον ἑλέσθαι.* So heisst Od. λ, 7. sogar der günstige Fahrwind ein *ἐσθλὸς ἑταῖρος.*

458. *ὧδε — δοάσσατο* hat wie gewöhnlich den Infinitiv nach sich, *βῆναι ἐπ᾽ Αἰνείαν*, was hier s. v. ist a. *Τρώων τινὰ ἑταρίσασθαι*, also — gegen den sonstigen Gebrauch — der erste der angenommenen Fälle. Anders ξ, 20—24. wo dieselbe Wendung (*βῆναι ἐπ᾽ Ἀτρείδην*) in anderem Sinne braucht ist.

460. *αἰεὶ γὰρ — ἐπεμήνιε.* V einem solchen gespannten Verh niss zwischen Aeneas und Prian enthalten die früher ihrer erw nenden Stellen keine Andeutu ausser etwa λ, 58. *ὃς Τρωσὶ θ ὣς τίετο δήμῳ.* Deutlicher w darauf υ, 306—308.

461. *μετ᾽ ἀνδράσιν* verbinde *οὔ τι τίεσκεν.*

464. *κῆδος* hier speciell die Tra um den getödteten Verwand (Schwager).

467. *ἐξενάριξεν* hier ohne Rücksicht auf die Grundbedeutu vgl. 437—445.

470. *τηλύγετον ὥς.* *τηλύγε*

λλ' ἔμεν, ὡς ὅτε τις σῦς οὔρεσιν ἀλκὶ πεποιθώς, 13
ς τε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν
ώρῳ ἐν οἰοπόλῳ, φρίσσει δέ τε νῶτον ὕπερθεν·
φθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον· αὐτὰρ ὀδόντας
ήγει, ἀλέξασθαι μεμαὼς κύνας ἠδὲ καὶ ἄνδρας.
ς μένεν Ἰδομενεὺς δουρίκλυτός, οὐδ' ὑπεχώρει,
Ἰινείαν ἐπιόντα βοηθόον· αὖε δ' ἑταίρους,
Ἰσκάλαφόν τ' ἐσορῶν Ἀφαρῆά τε Δηίπυρόν τε
Ἰηριόνην τε καὶ Ἀντίλοχον, μήστωρας ἀυτῆς.
οὺς ὅ γ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα.
δεῦτε, φίλοι, καί μ' οἴῳ ἀμύνετε. δείδια δ' αἰνῶς
Ἰινείαν ἐπιόντα πόδας ταχύν, ὅς μοι ἔπεισιν,
; μάλα καρτερός ἐστι μάχῃ ἔνι φῶτας ἐναίρειν·
ιὶ δ' ἔχει ἥβης ἄνθος, ὅ τε κράτος ἐστὶ μέγιστον.
γὰρ ὁμηλικίη γε γενοίμεθα τῷδ' ἐπὶ θυμῷ,
ἶψά κεν ἠὲ φέροιτο μέγα κράτος ἠὲ φεροίμην.»
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἕνα φρεσὶ θυμὸν ἔχοντες
λησίοι ἔστησαν, σάκε' ὤμοισι κλίναντες.
Ἰινείας δ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισιν,
ηίφοβόν τε Πάριν τ' ἐσορῶν καὶ Ἀγήνορα δῖον,

ɔr tadelnd: zärtlich, verzärtelt d daher unmännlich; vgl. übrins zu Od. δ, 11.

471 f. ὡς ὅτε — ὅς τε μένει. Ein ppeltes oder sogar dreifaches Reivum, wo im Grunde Eines gegte; ebenso unten ο, 362 f. Vgl. θ, 230 und zu κολοσυρτὸν ἐπερμενον γ, 147. κολοσ. ἰόντα.

473. νῶτον ist Accusativ.

476. οὐδ' ὑπεχώρει parenthetisch e Od. τ, 292. οὐδ' ἀπέλειπεν, l. Il. λ, 350. 376.

477. βοηθόον ist Prädicat zu ιόντα = der kampfrüstig schnell m Kampfe herankam (um nach iphobos' Aufforderung den Alkaιος zu rächen). Vgl. ρ, 481. ηθόον ἄρμ' ἐπορούσας, und un482. Ἀ. ἐπιόντα πόδας ταν.

481. μ' οἴῳ = μοι οἴῳ. Vgl. zu Od. δ, 367. ἤ μ' οἴῳ ἔρροντι συνήντετο.

482. ὅς μοι ἔπεισιν. Auch diese Epexegese ist durch das beigefügte μοι bestimmter als das zu erklärende ἐπιόντα.

484. ἔχει ἥβης ἄνθος im Gegensatz von dem vorgerücktern Alter des Idomeneus 361. μεσαιπόλιος.

485. ὁμηλικίη collectiv, vgl. zu Od. β, 158. — Ueber τῷδ' ἐπὶ θυμῷ vgl. zu Od. π, 99.

486. αἶψά κεν — φεροίμην d. h. dann würde ich euern Beistand nicht verlangen, sondern auch allein ohne Verzug einen entscheidenden Kampf wagen.

488. πλησίοι — κλίναντες = λ, 593.

490. Δηίφοβον, dessen Zurückbleiben nach 462—467. allerdings sehr anstössig gewesen wäre.

13 οἵ οἱ ἅμ' ἡγεμόνες Τρώων ἔσαν· αὐτὰρ ἔπειτα
λαοὶ ἕπονθ', ὡς εἴ τε μετὰ κτίλον ἕσπετο μῆλα
πιόμεν' ἐκ βοτάνης· γάνυται δ' ἄρα τε φρένα ποιμήν.
ὣς Αἰνείᾳ θυμὸς ἐνὶ στήθεσσι γεγήθει,
ὡς ἴδε λαῶν ἔθνος ἐπισπόμενον ἑοῖ αὐτῷ.
οἱ δ' ἀμφ' Ἀλκαθόῳ αὐτοσχεδὸν ὡρμήθησαν
μακροῖσι ξυστοῖσι· περὶ στήθεσσι δὲ χαλκός
σμερδαλέον κονάβιζε τιτυσκομένων καθ' ὅμιλον
ἀλλήλων. δύο δ' ἄνδρες ἀρήιοι ἔξοχον ἄλλων,
Αἰνείας τε καὶ Ἰδομενεύς, ἀτάλαντοι Ἄρηι,
ἵεντ' ἀλλήλων ταμέειν χρόα νηλέι χαλκῷ.
Αἰνείας δὲ πρῶτος ἀκόντισεν Ἰδομενῆος·
ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος,
αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης
ᾤχετ', ἐπεί ῥ' ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.
Ἰδομενεὺς δ' ἄρα Οἰνόμαον βάλε γαστέρα μέσσην,
ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ' ἔντερα χαλκός
ἤφυσ'· ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
Ἰδομενεὺς δ' ἐκ μὲν νέκυος δολιχόσκιον ἔγχος
ἐσπάσατ', οὐδ' ἄρ' ἔτ' ἄλλα δυνήσατο τεύχεα καλά

492. *ὡς εἴ τε — ἕσπετο.* Gewöhnlicher wäre der Optativ *ἕσποιτο,* wie Od. *ι,* 313. *κ,* 420 vgl. 415. Der Aorist. Indic. bezeichnet den schon oft verwirklichten einzelnen Fall.

493. *ἐκ βοτάνης* von der Weide weg, nachdem sie geweidet. Vgl. Od. *κ,* 159. *κατήιεν ἐκ νομοῦ ὕλης πιόμενος.* — *γάνυται.* Denn die Begierde zu trinken ist ein Zeichen von Gesundheit der Herde.

496. *οἱ δέ,* die beiden kämpfenden Haufen unter Idomeneus und Aeneas (499 f.). — *ἀμφ' Ἀλκαθόῳ* gehört zu *ὡρμήθησαν,* wie 526. *ἀμφ' Ἀσκαλάφῳ.* — Den Begriff von *αὐτοσχεδὸν ὁρμηθῆναι* zeigt der Gegensatz mit *ἀκοντίσαι* 559.

498. *τιτυσκομένων — ἀλλήλων* vgl. *ζ,* 3. *ἀλλήλων ἰθυνομένων,* und unten 502.

504. *κατὰ γαίης ᾤχετο* vgl. *λ,* 358. *ὅθι οἱ κατα εἴσατο γαίης.*

505. *ἅλιον* Adverbium, wie *μέλεον = ματαίως κ,* 480.

506. *Ἰδομενεὺς δ' ἄρα.* Auch hier begünstigt der Dichter seinen Landsmann, indem er den Umstand mit Stillschweigen übergeht, dass Idomeneus eig. den Aeneas treffen wollte (500 f.) und nur durch dessen Verfehlen den Oenomaos traf.

507. *θώρηκος γύαλον* vgl. zu *ε,* 99; über *διὰ — ἤφυσε* zu Od. *τ,* 450. *πολλὸν δὲ διήφυσε σαρκὸς ὀδόντι.*

510. *ἄλλα* ist nicht ganz logisch auf *τεύχεα καλά* bezogen (= *τὰ ἄλλα*), könnte aber auch durch ein Adverbium = ausserdem, überdiess, ausgedrückt sein.

ιοιιν ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσιν.
γὰρ ἔτ' ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι,
τ' ἄρ' ἐπαΐξαι μεθ' ἑὸν βέλος οὔτ' ἀλέασθαι·
ῥα καὶ ἐν σταδίῃ μὲν ἀμύνετο νηλεὲς ἦμαρ,
έσσαι δ' οὐκέτι ῥίμφα πόδες φέρον ἐκ πολέμοιο.
ῦ δὲ βάδην ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ
ΐφοβος· δὴ γάρ οἱ ἔχεν κότον ἐμμενὲς αἰεί.
λ' ὅ γε καὶ τόθ' ἅμαρτεν, ὁ δ' Ἀσκάλαφον βάλε δουρί,
ὸν ἐνυαλίοιο· δι' ὤμου δ' ὄβριμον ἔγχος
χεν· ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
δ' ἄρα πώ τι πέπυστο βριήπυος ὄβριμος Ἄρης
ος ἑοῖο πεσόντος ἐνὶ κρατερῇ ὑσμίνῃ,
λ' ὅ γ' ἄρ' ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσιν
το, Διὸς βουλῇσιν ἐελμένος, ἔνθα περ ἄλλοι
άνατοι θεοὶ ἦσαν ἐεργόμενοι πολέμοιο.
οἱ δ' ἀμφ' Ἀσκαλάφῳ αὐτοσχεδὸν ὡρμήθησαν.
ΐφοβος μὲν ἀπ' Ἀσκαλάφου πήληκα φαεινήν
πασε, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηι
υρὶ βραχίονα τύψεν ἐπάλμενος, ἐκ δ' ἄρα χειρός
λῶπις τρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα.
ηριόνης δ' ἐξαῦτις ἐπάλμενος, αἰγυπιὸς ὥς,
ἔρυσε πρυμνοῖο βραχίονος ὄβριμον ἔγχος,

12. *ἔμπεδα* fest, sicher genug, erlässig. *γυῖα ποδῶν* (vgl. zu *κ*, 363) die Füsse als beweg- e und biegsame Glieder, die Ge- ke der Füsse.

13. *ἐπαΐξαι* d. h. mit Schnellig- t und auch im Laufe darauf aus- en, ihm nachstürmen. Dem Oe- haos hatte er allerdings das Ge- oss aus dem Leibe ziehen können, l er ganz in seiner Nähe war.

17. *δὴ γάρ οἱ ἔχεν κτέ*, weil on so viele durch ihn gefallen ren. *δὴ γάρ* denn ja, denn rklich.

20. *ἔσχεν* intr. es hielt (sich), treckte sich, reichte, *pertinebat* *ε*, 100. *ἀντικρὺ δὲ διέσχε.*

523. *ὑπὸ χρυσέοισι νέφεσσιν* also unter den Thoren des Olympos.

528. *ἥρπασε* weil er ihn doch nicht wirklich behielt und in Sicherheit bringen konnte: er riss (weg).

530. *αὐλῶπις τρυφάλεια* vgl. zu *ε*, 182.

531. *ἐξαῦτις ἐπάλμενος* abermals, zum zweiten Mal auf ihn einspringend. Vgl. zu Od. *δ*, 213; über die Lesung von *αἰγυπιός* zu Il. *η*, 59.

532. *πρυμνοῖο βραχίονος* d. i. *τοῦ ἐσχάτου*, aus dem äussersten, obersten Theile des Armes, zunächst an der Schulter, wie *π*, 323. Daher ist 539. *χειρός* auch vom Arm zu verstehen.

13 ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο. τὸν δὲ Πολίτης
αὐτοκασίγνητος, περὶ μέσσῳ χεῖρε τιτήνας,
ἐξῆγεν πολέμοιο δυσηχέος, ὄφρ' ἵκεθ' ἵππους
ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
ἕστασαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
οἳ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα,
τειρόμενον· κατὰ δ' αἷμα νεουτάτου ἔρρεε χειρός.
οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
ἔνθ' Αἰνέας Ἀφαρῆα Καλητορίδην ἐπορούσας
λαιμὸν τύψ', ἐπὶ οἷ τετραμμένον, ὀξέι δουρί·
ἐκλίνθη δ' ἑτέρωσε κάρη, ἐπὶ δ' ἀσπὶς ἑάφθη
καὶ κόρυς, ἀμφὶ δέ οἱ θάνατος χύτο θυμοραϊστής.
Ἀντίλοχος δὲ Θόωνα μεταστρεφθέντα δοκεύσας
οὔτασ' ἐπαΐξας, ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν,
ἥ τ' ἀνὰ νῶτα θέουσα διαμπερὲς αὐχέν' ἱκάνει·
τὴν ἀπὸ πᾶσαν ἔκερσεν· ὁ δ' ὕπτιος ἐν κονίῃσιν
κάππεσεν, ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσσας.
Ἀντίλοχος δ' ἐπόρουσε, καὶ αἴνυτο τεύχε' ἀπ' ὤμων
παπταίνων· Τρῶες δὲ περισταδὸν ἄλλοθεν ἄλλος
οὔταζον σάκος εὐρὺ παναίολον, οὐδ' ἐδύναντο

533. *τὸν δὲ* jenen aber, den Deiphobos. Ueber Polites vgl. *β*, 791.

534. *περὶ μέσσῳ — τιτήνας* d. i. *περὶ τὰ μέσα αὐτοῦ τὰς χεῖρας διατείνας καὶ συλλαβών.* Wahrscheinlich hielt er mit seinem einen Arm den verwundeten Arm des Deiphobos, während er den andern um seinen Leib herumgeschlungen hielt; (daher auch *χεῖρα* gelesen werden könnte); aber zum ganzen Acte des Führens brauchte er doch beide Arme.

541. *Ἀφαρῆα* der auch oben 478 genannt war. Auf *Ἀφαρῆα* bezieht sich *τετραμμένον* des folgenden Verses.

543. *ἑτέρωσε* auf die eine Seite d. h. wohl hier (wegen des nachher vom Schilde Gesagten) auf die rechte Seite. — *ἐπὶ — ἑάφθη* (*ἅπτω*): da fügte, gesellte sich wie freiwilli

545. *Ἀντίλοχος* war ebenfalls 47 erwähnt, und billig soll er als N stors Sohn nun auch etwas leiste — *Θόωνα* = *μ*, 140.

546. *φλέβα πᾶσαν* nach Sch *ὅλην τὴν κοίλην φλέβα,* die gan Hohlblutader (Hohlader), die gröss und weiteste Blutader. Nach A dern: die Aorta d. i. die Hau schlagader, welche der hintern Wa dung des Rückens in dessen ganz Länge bis an den Hals folgt.

547. *διαμπερὲς* verbinde mit *α χέν' ἱκάνει.*

549. *ἄμφω χ. πετάσσας* du Convulsion in Folge der Verwu dung des grossen Gefässstamm (546).

ἴσω ἐπιγράψαι τέρενα χρόα νηλέι χαλκῷ 13
Ἀντιλόχου· περὶ γάρ ῥα Ποσειδάων ἐνοσίχθων
Νέστορος υἱὸν ἔρυτο καὶ ἐν πολλοῖσι βέλεσσιν.
ὐ μὲν γάρ ποτ᾽ ἄνευ δηίων ἦν, ἀλλὰ κατ᾽ αὐτούς
τρωφᾶτ᾽· οὐδέ οἱ ἔγχος ἔχ᾽ ἀτρέμας, ἀλλὰ μάλ᾽ αἰεί
ειόμενον ἐλέλικτο· τιτύσκετο δὲ φρεσὶν ᾗσιν
τευ ἀκοντίσσαι ἠὲ σχεδὸν ὁρμηθῆναι.
ἀλλ᾽ οὐ λῆθ᾽ Ἀδάμαντα τιτυσκόμενος καθ᾽ ὅμιλον
Ἀσιάδην, ὅ οἱ οὖτα μέσον σάκος ὀξέι χαλκῷ
γγύθεν ὁρμηθείς· ἀμενήνωσεν δέ οἱ αἰχμήν
υανοχαῖτα Ποσειδάων, βιότοιο μεγήρας.
αὶ τὸ μὲν αὐτοῦ μεῖν᾽ ὥς τε σκῶλος πυρίκαυστος,
ν σάκει Ἀντιλόχοιο, τὸ δ᾽ ἥμισυ κεῖτ᾽ ἐπὶ γαίης.
ψ δ᾽ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ᾽ ἀλεείνων.
Μηριόνης δ᾽ ἀπιόντα μετασπόμενος βάλε δουρί
ἰδοίων τε μεσηγὺ καὶ ὀμφαλοῦ, ἔνθα μάλιστα
ίγνετ᾽ Ἄρης ἀλεγεινὸς ὀιζυροῖσι βροτοῖσιν.
ἔνθα οἱ ἔγχος ἔπηξεν· ὁ δ᾽ ἑσπόμενος περὶ δουρί
ἤσπαιρ᾽ ὡς ὅτε βοῦς, τόν τ᾽ οὔρεσι βουκόλοι ἄνδρες
λλάσιν οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσιν.

553. *εἴσω ἐπιγράψαι* einwärts, nerhalb d. h. unter dem Schilde och streifen, ritzen.

554. *περὶ — ἔρυτο* rings um, von llen Seiten schützte ihn Poseidon ls Stamm- und Familiengott, vgl. Od. *γ*, 6.).

556. *οὐ μὲν γάρ — ἦν.* Dieser atz erklärt, warum Poseidon den ntilochos auch *ἐν πολλοῖσι βέλεσσιν* schützen hatte. *ἄνευ δηίων* frei on Feinden, fern von ihnen.

560. *οὐ λῆθ᾽ Ἀδάμαντα τιτυσκό-ενος.* Der Hauptbegriff im Verältniss zum Verbum ist *τιτυσκό-ενος*, sein *τιτύσκεσθαι* blieb ihm icht verborgen.

563. *βιότοιο μεγήρας.* *βιότοιο* uss nach dem Zusammenhang auf as Leben des von Poseidon gechützten Antilochos bezogen werden: ihm (dem Adamas) das Leben desselben versagend. Das vorangehende *οἱ* ist auch zu *μεγήρας* zu ziehen.

564. *τὸ μὲν* im Gegensatz von *τὸ δ᾽ ἥμισυ*, die eine Hälfte, das eine Stück der zerbrochenen Lanze. *αὐτοῦ* ist Adverbium zu *μεῖνε*, vgl. Od. *δ*, 508. *καὶ τὸ μὲν αὐτόθι μεῖνε, τὸ δὲ τρύφος ἔμπεσε πόντῳ.*

566. *ἐχάζετο* erg. *Ἀδάμας*, auf den sich dann auch 567 *ἀπιόντα* bezieht.

570. *ἑσπόμενος* folgend demStosse d. h. unter demselben hinsinkend; etwas anders *μ*, 395. — *περὶ δουρί* gehört zu *ἤσπαιρε* vgl. 441 und *ϑ*, 86. *κυλινδόμενος περὶ χαλκῷ.*

572. *οὐκ ἐθέλοντα* gehört zu *ἄγουσιν*, *βίῃ* zu *δήσαντες.*

13 ὣς ὁ τυπεὶς ἤσπαιρε μίνυνθά περ, οὔ τι μάλα δήν,
ὄφρα οἱ ἐκ χροὸς ἔγχος ἀνεσπάσατ' ἐγγύθεν ἐλθὼν
ἥρως Μηριόνης· τὸν δὲ σκότος ὄσσε κάλυψεν.
Δηίπυρον δ' Ἕλενος ξίφεϊ σχεδὸν ἤλασε κόρσην
Θρηικίῳ μεγάλῳ, ἀπὸ δὲ τρυφάλειαν ἄραξεν.
ἡ μὲν ἀποπλαγχθεῖσα χαμαὶ πέσε, καί τις Ἀχαιῶν
μαρναμένων μετὰ ποσσὶ κυλινδομένην ἐκόμισσεν·
τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
Ἀτρείδην δ' ἄχος εἷλε, βοὴν ἀγαθὸν Μενέλαον·
βῆ δ' ἐπαπειλήσας Ἑλένῳ ἥρωι ἄνακτι,
ὀξὺ δόρυ κραδάων· ὁ δὲ τόξου πῆχυν ἄνελκεν.
τὼ δ' ἄρ' ὁμαρτήδην ὁ μὲν ἔγχεϊ ὀξυόεντι
ἵετ' ἀκοντίσσαι, ὁ δ' ἀπὸ νευρῆφιν ὀιστῷ.
Πριαμίδης μὲν ἔπειτα κατὰ στῆθος βάλεν ἰῷ
θώρηκος γύαλον, ἀπὸ δ' ἔπτατο πικρὸς ὀιστός.
ὡς δ' ὅτ' ἀπὸ πλατέος πτυόφιν μεγάλην κατ' ἀλωήν
θρώσκωσιν κύαμοι μελανόχροες ἢ ἐρέβινθοι
πνοιῇ ὕπο λιγυρῇ καὶ λικμητῆρος ἐρωῇ,
ὣς ἀπὸ θώρηκος Μενελάου κυδαλίμοιο
πολλὸν ἀποπλαγχθεὶς ἑκὰς ἔπτατο πικρὸς ὀιστός.
Ἀτρείδης δ' ἄρα χεῖρα, βοὴν ἀγαθὸς Μενέλαος,
τὴν βάλεν ᾗ ῥ' ἔχε τόξον ἐύξοον· ἐν δ' ἄρα τόξῳ
ἀντικρὺ διὰ χειρὸς ἐλήλατο χάλκεον ἔγχος.

573. *τυπεὶς* überhaupt getroffen, obgleich es aus der Ferne geschehen war. Vgl. 566. *βάλε δουρί.* Nach sonstigem Sprachgebrauch sollte man hier *βεβλημένος* oder *βληθείς* erwarten; doch stak ihm die verwundende Waffe noch im Leibe. — *μίνυνθα — δήν* = Od. *χ*, 473.

577. *Θρηικίῳ μεγάλῳ.* So erwähnt Livius 31, 39. auch eine Art Wurfspiess bei den Thrakern „*ingentis longitudinis*", unter dem Namen „*rhomphaeae*" oder latinisirt „*rumpiae*".

579. *μαρναμένων — κυλινδομένην* vgl. *ξ*, 411. *πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο.*

584. *ὁμαρτήδην ὁ μὲν.* Vgl. *μ* 400. *ὁμαρτήσανθ' ὁ μέν κτἑ.* Ueber *ὀξυόεις* vgl. zu Od. *τ*, 33. Der Stoff des Schaftes wird unten 59[illegible] bezeichnet.

585. *οἰστῷ* erg. *βαλεῖν*, aus dem durch Zeugma verbundenen *ἀκοντίσσαι.*

586. *ἔπειτα* hier nicht sowohl zur Bezeichnung der Zeitfolge, als des Eintretens in's Einzelne nach vorhergegangener Ankündigung, wie sonst (*μὲν*) *δή*, *ἤτοι* denn also z. B. 614. Vgl. auch Od. *α*, 106.

588 f. *ἀπὸ — θρώσκωσιν* und sich dadurch vom Weizen (Getreide) sondern.

ψ δ᾽ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ᾽ ἀλεείνων, 13
εἶρα παρακρεμάσας· τὸ δ᾽ ἐφέλκετο μείλινον ἔγχος.
αὶ τὸ μὲν ἐκ χειρὸς ἔρυσεν μεγάθυμος Ἀγήνωρ,
ὐτὴν δὲ ξυνέδησεν ἐυστρεφεῖ οἰὸς ἀώτῳ,
φενδόνῃ, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν.
Πείσανδρος δ᾽ ἰθὺς Μενελάου κυδαλίμοιο
ιε· τὸν δ᾽ ἄγε μοῖρα κακὴ θανάτοιο τέλοσδε,
οί, Μενέλαε, δαμῆναι ἐν αἰνῇ δηιοτῆτι.
ἱ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
Ἀτρείδης μὲν ἅμαρτε, παραὶ δέ οἱ ἐτράπετ᾽ ἔγχος,
Πείσανδρος δὲ σάκος Μενελάου κυδαλίμοιο
ὔτασεν, οὐδὲ διαπρὸ δυνήσατο χαλκὸν ἐλάσσαι·
σχεθε γὰρ σάκος εὐρύ, κατεκλάσθη δ᾽ ἐνὶ καυλῷ
γχος· ὁ δὲ φρεσὶν ᾗσι χάρη καὶ ἐέλπετο νίκην.
Ἀτρείδης δὲ ἐρυσσάμενος ξίφος ἀργυρόηλον
λτ᾽ ἐπὶ Πεισάνδρῳ· ὁ δ᾽ ὑπ᾽ ἀσπίδος εἵλετο καλὴν
ξίνην εὔχαλκον, ἐλαΐνῳ ἀμφὶ πελέκκῳ,
ακρῷ ἐυξέστῳ· ἅμα δ᾽ ἀλλήλων ἐφίκοντο.
τοι ὁ μὲν κόρυθος φάλον ἤλασεν ἱπποδασείης
κρον ὑπὸ λόφον αὐτόν, ὁ δὲ προσιόντα μέτωπον

596 f. *ἐχάζετο* erg. *Ἕλενος*. — *αρακρεμάσαι*, an der Seite herabngen lassend.

599. *οἰὸς ἀώτῳ*, indem die bein Schenkel der Schleuder aus Wolle geflochten wurden. Die chleuder wird bei Homer nur hier ıd unten 716—718 erwähnt, aber ist leicht zu begreifen, dass sie Nothfall auch als Binde gebraucht erden konnte.

600. *οἱ θεράπων* sein, des Ageor (490) Diener, der wahrscheinch keine schweren Waffen hrte.

602. *τὸν δ᾽ ἄγε μοῖρα*. Vgl. zu d. *γ*, 259. Nicht nur dieser ganze edanke, sondern besonders die rede *σοὶ Μενέλαε* zeigt das Inresse des Dichters für die Achäer.

605. *ἅμαρτε*. Er hatte sich also in der Stille einen andern Speer verschafft, oder von Anfang an zwei gehabt. Uebrigens kommt dieser mit dem vorigen Verse schon *λ*. 232 f. vor.

609. *ὁ δὲ — χάρη* spottend: er (Peisandros) aber hatte sich schon gefreut und auf den Sieg gehofft, als Menelaos (605) ihn verfehlte. Diese Hoffnung vereitelt ihm aber der letztere sogleich.

12 f. *οὐδέ μιν ἠὼς — — λήθε-κεν* vgl. zu Od. *χ*, 197 *οὐδὲ σέ γ᾽ ριγένεια — λήσει κτἑ.* Aus der childerung des einzelnen Falles les Benehmens von Achilleus in der acht nach den Leichenspielen) wird die allgemeine Beschreibung sei-ér Trauer um Patroklos und sei-s Benehmens nach dem Tode des ektor übergegangen, daher die erativform *λήθεσκεν* und die Wen-ng *ἐπεὶ ζεύξειεν*.

14 f. *ἐπεὶ ζεύξειεν — δησάσκετο* h. jedes Mal, täglich am frühen orgen (417) spannte er an und nd. Zur Wendung vgl. Herodot. 52 *ἐπολιόρκεον τρόπον τοιόνδε· ὡς στυπεῖον περὶ τοὺς ὀϊστοὺς ριθέντες ἅψειαν, ἐτόξευον ἐς φράγμα*. Die Partikel *δ᾽* im Nachsatz scheint eher aus *δή* als aus *δέ* entstanden.

16 f. *τρὶς ἐρύσας* vgl. *ψ*, 13 *τρὶς περὶ νεκρὸν — ἤλασαν ἵππους*. Was dort Einmal um den Leichnam herum geschah, geschieht hier täglich (bis zu dem 31. angegebenen Termin) um das Grabmahl. — *παυέσκετο* = *ἀναπαυέσκετο*.

18 f. *ἐν κόνι — προπρηνέα* nach *ψ*, 25 f. *πρηνέα — τανύσσας ἐν κονίῃς*. — *τοῖο* hängt von *ἄπεχε* ab; *χροΐ* ist örtlicher Dativ: am Leibe wie *ψ*, 191 *ἴνεσιν ἠδὲ μέλεσσιν*. Uebrigens wird hier 18—21 dem Apollon allein (und zwar vermittelst der *αἰγίς*, die eig. dem Zeus gehört, vgl. zu *ε*, 338) zugeschrieben, was *ψ*, 185—191 die gemeinschaftliche Fürsorge der Aphrodite und des Apollon bewirkt.

22. *ἀείκιζεν*, er misshandelte ihn auf die 15 f. beschriebene Weise, ohne jedoch seinem Leichname eine wirkliche Verunstaltung, Entstellung (*ἀεικείην* 19) beizubringen (vgl. 417 f. *ἕλκει ἀκηδέστως — οὐδέ μιν αἰσχύνει*).

τὸν δ' ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες,
κλέψαι δ' ὀτρύνεσκον ἐΰσκοπον ἀργειφόντην.
ἔνθ' ἄλλοις μὲν πᾶσιν ἑήνδανεν, οὐδέ ποθ' Ἥρῃ
οὐδὲ Ποσειδάων' οὐδὲ γλαυκώπιδι κούρῃ,
ἀλλ' ἔχον ὥς σφιν πρῶτον ἀπήχθετο Ἴλιος ἱρή
καὶ Πρίαμος καὶ λαός, Ἀλεξάνδρου ἕνεκ' ἄτης,
ὃς νείκεσσε θεάς, ὅτε οἱ μέσσαυλον ἵκοντο,
τὴν δ' ᾔνησ' ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν.
ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' ἠώς,
καὶ τότ' ἄρ' ἀθανάτοισι μετηύδα Φοῖβος Ἀπόλλων
«σχέτλιοί ἐστε, θεοί, δηλήμονες. οὔ νύ ποθ' ὕμιν
Ἕκτωρ μηρί' ἔκηε βοῶν αἰγῶν τε τελείων;
τὸν νῦν οὐκ ἔτλητε νέκυν περ ἐόντα σαῶσαι,
ἧ τ' ἀλόχῳ ἰδέειν καὶ μητέρι καὶ τέκεϊ ᾧ

24. *κλέψαι*, heimlich hinweg und in Sicherheit zu bringen.

25. *οὐδέ ποτε* = *ἀλλ' οὔ ποτε*, *ἀλλ' οὔ πως ἑήνδανε*.

27 f. *ἔχον*, intr. sie hielten, hielten fest, beharrten (in ihrem Sinne) = ν, 679 *ἔχεν ἧ τὰ πρῶτα — ἐσᾶλτο*. *Ἀλεξάνδρου* = *ἄτης* = ζ, 356.

29. *ὃς νείκεσσε θεάς* näml. gerade die beiden 25 f. genannten, Here und Athene. Der Begriff von *νεικέω* ist aus dem Gegensatz *ᾔνησε* herzuleiten: = nicht loben (wegen der Schönheit) = tadeln, schelten und dadurch kränken. Vgl. Virg. Aen. 1, 26 *manet alta mente (Iunonis) repostum Iudicium Paridis spretaeque iniuria formae.* Uebrigens wird diese spätere Sage vom s. g. Urtheilspruch des Paris sonst von Homer nirgends erwähnt, obgleich es an Gelegenheit dazu nicht fehlte, vgl. ε, 63 *νῆας ἐίσας ἀρχεκάκους*. — *μέσσαυλον*, Schol. *τὴν ἐν ὄρει οἴκησιν*. Man hat sich den Paris als Hirten bei der Herde zu denken.

30. *ἥ οἱ πόρε*, als von ferne gezeigte Belohnung. — *μαχλοσύνην* (ein sonst erst bei Hesiodos vo kommender Ausdruck): üppigen Li besgenuss, Buhlschaft (mit Helena

31. *ἀλλ' ὅτε δή ῥ' — ἠώς* vg zu α, 493. Bei *ἐκ τοῖο* ist an d Tod des Hektor oder den näch darauf folgenden Morgen zu de ken, der durch die Schilderu 12—21 wieder ganz in die nächs Nähe gerückt, ja dem Leser u Hörer beinahe mehr gegenwärt ist, als der Abend nach den Le chenspielen 3. 4. Damit stimme auch die Zeitbestimmungen 107 u 413 f. zusammen.

32. *Ἀπόλλων* kann sich nach se nem nähern Verhältnisse zu Hekt am wenigsten zufrieden geben. D von ihm den andern Göttern g machten Vorwürfe sind von alle verdient, weil sich alle durch de Hass und die Leidenschaft der 25 genannten bestimmen liessen.

33. *οὔ νύ ποθ' ὕμιν κτέ.* vg Od. α, 60 f. *οὔ νύ τ' Ὀδυσσεὺς — χαρίζετο ἱερὰ ῥέζων;*

35. *νῦν οὐκ ἔτλητε*, bei der Ver werfung des 24 gemachten Vor schlages.

36. *ἧ ἀλόχῳ ἰδέειν*, zu schaue

:αὶ πατέρι Πριάμῳ λαοῖσί τε, τοί κέ μιν ὦκα
ν πυρὶ κήαιεν καὶ ἐπὶ κτέρεα κτερίσαιεν.
λλʼ ὀλοῷ Ἀχιλῆι, θεοί, βούλεσθʼ ἐπαρήγειν,
ὶ οὔτʼ ἂρ φρένες εἰσὶν ἐναίσιμοι οὔτε νόημα
ναμπτὸν ἐνὶ στήθεσσι, λέων δʼ ὣς ἄγρια οἶδεν,
ς τʼ ἐπεὶ ἂρ μεγάλῃ τε βίῃ καὶ ἀγήνορι θυμῷ
ἴξας εἶσʼ ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβῃσιν·
ς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδώς
γνεται, ἥ τʼ ἄνδρας μέγα σίνεται ἠδʼ ὀνίνησιν.
έλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
ὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν·
λʼ ἤτοι κλαύσας καὶ ὀδυράμενος μεθέηκεν·
ητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.

seine Gattin, vgl. zu Od. γ, ὶ οἴσουσι κλέος εὐρὺ καὶ ἐσ-μένοισι πυθέσθαι.

8. καὶ ἐπὶ — κτερίσαιεν. Wie von κῆαι ἐν πυρί, so wird κτερεΐζειν auch Od. γ, 285 von ειν ausdrücklich unterschieden.

9. ἐπαρήγειν schliesst auch den riff der parteiischen Begünsti-g in sich, vgl. ψ, 574 ἐς μέσον ιηδʼ ἐπʼ ἀρωγῇ, ebend. 783 ίσταται ἠδʼ ἐπαρήγει.

f. φρένες ἐναίσιμοι, ein billi-Sinn, zeigt sich namentlich auch em νόημα γναμπτόν. Vgl. ο, πρεπταὶ μέν τε φρένες ἐσθλῶν ι, 496—501. Zu ἄγρια οἶδεν 13 ἔπεα — ἄκοσμά τε πολλά θη.

f. ἐπεὶ ἂρ — εἶσʼ ἐπὶ μῆλα. nakoluthon, indem kein Nach-zu ἐπεὶ — εἶσι folgt. Eigent-war noch ein Verbum zu ὅς erwarten, das, entsprechend Vers 44, den Heisshunger und nwiderstehliche Gewalt des Lö-ezeichnete; vgl. zu θ, 230 und ῃ καὶ θυμῷ εἴξαι ι, 598 εἴξας υῷ. — δαῖτα hier ausnahms- — doch nur in einem Gleich- - vom reichlichen Frasse des Wildes, sonst nur vom Schmause der Menschen.

45. γίγνεται — ὀνίνησιν. Ein ohne Zweifel aus Hesiodos ἔργ. κ. ἡμέρ. 318 mit kleiner Aenderung hierher versetzter Vers, der im Sinne des Hesiodos nicht nur überflüssig, sondern auch unpassend wäre, da hier nur von Einer Art der Scheu die Rede sein kann und zwar gerade von der rechtzeitigen und nützlichen, während bei Hesiodos gemäss der Wortstellung der Begriff der unzeitigen und übel angebrachten vorherrscht (αἰδὼς ἥ τʼ ἄνδρας μέγα σίνεται ἠδʼ ὀνίνησιν). Im Sinne unsers Verfassers aber heisst er wohl: die Scheu schade und nütze den Männern, je nachdem sie von ihnen verletzt, missachtet oder beachtet werde.

46. ὀλέσσαι, *amittere*, (durch den Tod) verlieren, wie 242.

48. μεθέηκεν, eben jener τὶς der einen geliebten Verwandten verloren und um ihn geweint und geklagt hat: er lässt nach (mit der Trauer), hört auf.

49. τλητὸν θυμόν Paraphrast. ὑπομονητικὴν ψυχήν. τλητόν activ: duldsam, zum Dulden geschickt und

24 αὐτὰρ ὅ γ' Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
ἵππων ἐξάπτων περὶ σῆμ' ἑτάροιο φίλοιο
ἕλκει. οὐ μήν οἱ τό γε κάλλιον οὐδέ τ' ἄμεινον·
μὴ ἀγαθῷ περ ἐόντι νεμεσσηθέωμέν οἱ ἡμεῖς·
κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.»
τὸν δὲ χολωσαμένη προσέφη λευκώλενος Ἥρη
«εἴη κεν καὶ τοῦτο τεὸν ἔπος, ἀργυρότοξε,
εἰ δὴ ὁμὴν Ἀχιλῆι καὶ Ἕκτορι θήσετε τιμήν.
Ἕκτωρ μὲν θνητός τε, γυναῖκά τε θήσατο μαζόν·
αὐτὰρ Ἀχιλλεύς ἐστι θεᾶς γόνος, ἣν ἐγὼ αὐτή
θρέψα τε καὶ ἀτίτηλα καὶ ἀνδρὶ πόρον παράκοιτιν,
Πηλέι, ὃς περὶ κῆρι φίλος γένετ' ἀθανάτοισιν.
πάντες δ' ἀντιάασθε, θεοί, γάμου· ἐν δὲ σὺ τοῖσιν
δαίνυ' ἔχων φόρμιγγα, κακῶν ἕταρ', αἰὲν ἄπιστε.»
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς

daher auch sich in's Unglück ergebend.

50. *αὐτὰρ ὅ γ' Ἕκτορα κτέ.* d. h. er kann gar nicht aufhören, seinen Schmerz an Patroklos und seine Rache um ihn an Hektor auszulassen, den er doch schon des Lebens beraubt hat.

52. *οὐ μήν οἱ — ἄμεινον* erg. *ἐστί* oder *ἔσται*, näml. als davon abzulassen, es nicht zu thun.

53. *μὴ — νεμεσσηθέωμέν οἱ ἡμεῖς*, dass nicht wir (Götter) ihm — zürnen, näml. er sehe sich vor, hüte sich wohl, vgl. zu *α*, 26.

54. *κωφὴν — μενεαίνων* vgl. 22 *κωφὴν γαῖαν*, stumme Erde, gefühllosen Staub, ist bildliche Bezeichnung des bewusst- und empfindungslosen Leichnams von Hektor (vgl. *η*, 99 *ὕδωρ καὶ γαῖα γένοισθε*); einen Todten aber zu misshandeln, erregt den gerechten Unwillen und die Strafe (*νέμεσις*) der Götter.

56. *εἴη κεν — τεὸν ἔπος*, auch das mag wieder eine Rede von dir sein, auch diese Rede sieht dir wieder recht gleich, da hast d[…] wieder einmal deiner ganz würd[…] gesprochen. Schol. *πρέπον σεαυτ[…] εἴρηκας, εἴη ἂν καὶ τοῦτο τὸ ἔπ[…] τῶν σῶν φλυαρημάτων.* Der fo[…]gende Satz 57 *εἰ δὴ — θήσετε τιμ[…]* giebt den Sinn und Inhalt dies[…] Rede an. *θήσετε* der Plural, sofe[…] die andern Götter (wie nach ihre[…] Schweigen zu besorgen ist) der Ei[…]gebung des Apollon folgen.

58. *γυναῖκα θήσατο μαζόν*, d[…] gewöhnliche *σχῆμα καθ' ὅλον κ[…] μέρος.*

60. *ἀνδρὶ πόρον παράκοιτιν*, u[…] zwar wider ihren Willen nach […] 432 ff. Die weitere Ausführung di[…]ser Sage giebt Apollon. Rhod. […] 790—809.

62. *ἀντιάασθε* nur hier im M[…]dium.

63. *κακῶν*, namentlich auch d[…] Alexandros (Paris). — *αἰὲν ἄπιστ[…]* sofern der von Zeus gesandte Trau[…] dem Agamemnon *β*, 31 richtig ve[…]kündigt hatte: *ἐπέγναμψεν γ[…] ἅπαντας Ἥρη λισσομένη.*

«Ἥρη, μὴ δὴ πάμπαν ἀποσκύδμαινε θεοῖσιν· 24
οὐ μὲν γὰρ τιμή γε μί᾽ ἔσσεται. ἀλλὰ καὶ Ἕκτωρ
φίλτατος ἔσκε θεοῖσι βροτῶν οἳ ἐν Ἰλίῳ εἰσίν·
ὣς γὰρ ἔμοιγ᾽, ἐπεὶ οὔ τι φίλων ἡμάρτανε δώρων.
οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐίσης,
λοιβῆς τε κνίσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.
ἀλλ᾽ ἤτοι κλέψαι μὲν ἐάσομεν — οὐδέ πῃ ἔστιν
λάθρῃ Ἀχιλλῆος — θρασὺν Ἕκτορα· ἦ γάρ οἱ αἰεί
μήτηρ παρμέμβλωκεν ὁμῶς νύκτας τε καὶ ἦμαρ.
ἀλλ᾽ εἴ τις καλέσειε θεῶν Θέτιν ἆσσον ἐμεῖο,
ὄφρα τί οἱ εἴπω πυκινὸν ἔπος, ὥς κεν Ἀχιλλεύς
δώρων ἐκ Πριάμοιο λάχῃ ἀπό θ᾽ Ἕκτορα λύσῃ.»
ὣς ἔφατ᾽, ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα,
μεσσηγὺς δὲ Σάμου τε καὶ Ἴμβρου παιπαλοέσσης
ἔνθορε μείλανι πόντῳ· ἐπεστονάχησε δὲ λίμνη.
ἡ δὲ μολυβδαίνῃ ἰκέλη ἐς βυσσὸν ὄρουσεν,
ἥ τε κατ᾽ ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα
ἔρχεται ὠμηστῇσιν ἐπ᾽ ἰχθύσι κῆρα φέρουσα.

65. *ἀποσκύδμαινε* (592) vgl. zu *ι*, 772 *ἀπομηνίσας*.
66. *οὐ μὲν γὰρ — ἔσσεται*, Antwort auf 57. — *τιμὴ μία* = *ὁμὴ τιμή* nämlich *Ἀχιλῆι καὶ Ἕκτορι*.
68. *ὣς γὰρ ἔμοιγε*, erg. *φίλτατος ἔσκε βροτῶν κτἑ.*
69 f. *οὐ γάρ μοί ποτε — ἡμεῖς* = *β*, 48 f.
71. *ἐάσομεν*, *mittamus, omittamus*, lassen wir das.
72. *ἦ γάρ οἱ αἰεὶ — παρμέμβλωκεν* (vgl. *δ*, 11) hyperbolisch = Thetis kommt sehr oft zu ihm, so dass auch ihrethalben die Entwendung nicht Statt finden könnte. So Odyss. *β*, 345 *ἐν δὲ γυνὴ ταμίη νύκτας τε καὶ ἦμαρ ἔσκε.*
74. *ἀλλ᾽ εἴ τις καλέσειε*. Mildere Form des Befehles, vgl. zu *ο*, 571 *εἴ τινά που — βάλοισθα.*
77. *ὦρτο δὲ Ἶρις*, als die gewöhnliche Botin, ohne eine namentliche Aufforderung zu erwarten.

78. *Σάμου τε καὶ Ἴμβρου* vgl. *ν*, 12 f. 33. *ξ*, 281. *ω*, 753.
79. *μείλανι* (nur hier in dieser ionischen Form) *πόντῳ* d. h. in das Meer jener Gegend, das sonst *Μέλας κόλπος* heisst (Herodot. 6, 41. 7, 58) vgl. Apollon. Rhod. 1, 922 *Μέλανος διὰ βένθεα πόντου.*
80. *μολυβδαίνῃ ἰκέλη*, d. h. sehr rasch in die Tiefe hinabfahrend.
81. *κατ᾽ ἀγραύλοιο βοὸς κέρας* (vgl. Od. *μ*, 253) *ἐμβεβαυῖα*, Paraph. *ἐμβληθεῖσα*, näml. *τῷ πόντῳ, τῇ θαλάσσῃ*, an dem Rindshorn, der kleinen Röhre aus Horn und durch dieselbe (die oberhalb der Angel die Fischerschnur umgiebt und sie vor dem Abbeissen schützt) in die Tiefe hinabgehend, unter das Wasser versenkt. Die Schnur, woran das Senkblei befestigt war, ging vielleicht durch das Horn hindurch.
82. *κῆρα*, sonst nur von Menschen, vgl. 43 *δαῖτα*.

εὗρε δ᾽ ἐνὶ σπῆι γλαφυρῷ Θέτιν, ἀμφὶ δέ τ᾽ ἄλλαι
εἵαθ᾽ ὁμηγερέες ἅλιαι θεαί· ἡ δ᾽ ἐνὶ μέσσης
κλαῖε μόρον οὗ παιδὸς ἀμύμονος, ὅς οἱ ἔμελλεν
φθίσεσθ᾽ ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης.
ἀγχοῦ δ᾽ ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις
«ὄρσο, Θέτι· καλέει Ζεὺς ἄφθιτα μήδεα εἰδώς.»
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα
«τίπτε με κεῖνος ἄνωγε μέγας θεός; αἰδέομαι δέ
μίσγεσθ᾽ ἀθανάτοισιν, ἔχω δ᾽ ἄχε᾽ ἄκριτα θυμῷ.
εἶμι μέν, οὐδ᾽ ἅλιον ἔπος ἔσσεται, ὅ ττί κεν εἴπῃ.»
  ὣς ἄρα φωνήσασα κάλυμμ᾽ ἕλε δῖα θεάων
κυάνεον, τοῦ δ᾽ οὔ τι μελάντερον ἔπλετο ἔσθος.
βῆ δ᾽ ἰέναι, πρόσθεν δὲ ποδήνεμος ὠκέα Ἶρις
ἡγεῖτ᾽· ἀμφὶ δ᾽ ἄρα σφι λιάζετο κῦμα θαλάσσης.
ἀκτὴν δ᾽ ἐξαναβᾶσαι ἐς οὐρανὸν ἀιχθήτην,
εὗρον δ᾽ εὐρύοπα Κρονίδην, περὶ δ᾽ ἄλλοι ἅπαντες
εἵαθ᾽ ὁμηγερέες μάκαρες θεοὶ αἰὲν ἐόντες.
ἡ δ᾽ ἄρα πὰρ Διὶ πατρὶ καθέζετο, εἶξε δ᾽ Ἀθήνη.
Ἥρη δὲ χρύσεον καλὸν δέπας ἐν χερὶ θῆκεν
καί ῥ᾽ εὔφρην᾽ ἐπέεσσι· Θέτις δ᾽ ὤρεξε πιοῦσα.
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε.
«ἤλυθες Οὔλυμπόνδε, θεὰ Θέτι, κηδομένη περ,
πένθος ἄλαστον ἔχουσα μετὰ φρεσίν· οἶδα καὶ αὐτός·

84. *εἵατο* = 99. *ο*, 10, verschieden von Od. *υ*, 106 *εἵατο*.

85. *οἱ*, ihr, der theilnehmenden Mutter, vgl. 131.

88. *Θέτι* = 104. Hier verlängert die nothwendige Pause den Endvocal auf die natürlichste Weise. — *ἄφθιτα*, Schol. *ἀναλλοίωτα*, unwandelbar.

91. *ἔχω δέ* s. v. a. *ἔχουσα*. Das ganze Hemistich = *γ*, 412.

92. *μέν* = *μήν*, *μέντοι*, doch ich geh'.

93 f. *κάλυμμ᾽ ἕλε — κυάνεον* wie Demeter in dem nach ihr benannten Hymnos 42; beide als Leidtragende, Thetis auch als Meergöttin. — *ἔσθος*, eine nur hier und in den Hymnen Einmal vorkommende Form.

97. *ἐς οὐρανόν* = 104 *Οὔλυμπόνδε* vgl. zu *α*, 497.

100. *πὰρ Διὶ πατρί*, ohne Zweifel zur Rechten; Athene, die gewöhnlich diesen Platz einnahm (auch auf dem Capitol), machte ihr Platz, rückte weg (*εἶξε*). Hera als Gemahlin (*βασιλίς*) blieb sitzen, doch zur Linken des Zeus und bewillkommte sie mit freundlichen Worten (*εὔφρην᾽ ἐπέεσσι*).

102. *ὤρεξε πιοῦσα*, sie gab den Becher, nachdem sie getrunken, ihr wieder zurück.

ἀλλὰ καὶ ὣς ἐρέω τοῦ σ᾽ εἵνεκα δεῦρο κάλεσσα. 24
ἐννῆμαρ δὴ νεῖκος ἐν ἀθανάτοισιν ὄρωρεν
Ἕκτορος ἀμφὶ νέκυι καὶ Ἀχιλλῆι πτολιπόρθῳ·
κλέψαι δ᾽ ὀτρύνουσιν ἐΰσκοπον ἀργειφόντην.
αὐτὰρ ἐγὼ τόδε κῦδος Ἀχιλλῆι προτιάπτω,
αἰδῶ καὶ φιλότητα τεὴν μετόπισθε φυλάσσων.
αἶψα μάλ᾽ ἐς στρατὸν ἐλθὲ καὶ υἱέι σῷ ἐπίτειλον.
σκύζεσθαί οἱ εἰπὲ θεούς, ἐμὲ δ᾽ ἔξοχα πάντων
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
Ἕκτορ᾽ ἔχει παρὰ νηυσὶ κορωνίσιν οὐδ᾽ ἀπέλυσεν,
αἴ κέν πως ἐμέ τε δείσῃ ἀπό θ᾽ Ἕκτορα λύσῃ.
αὐτὰρ ἐγὼ Πριάμῳ μεγαλήτορι Ἶριν ἐφήσω
λύσασθαι φίλον υἱόν, ἰόντ᾽ ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ᾽ Ἀχιλλῆι φερέμεν, τά κε θυμὸν ἰήνῃ.»
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ Θέτις ἀργυρόπεζα,
βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων ἀΐξασα,
ξεν δ᾽ ἐς κλισίην οὗ υἱέος. ἔνθ᾽ ἄρα τόν γε
ὗρ᾽ ἀδινὰ στενάχοντα· φίλοι δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
σσυμένως ἐπένοντο καὶ ἐντύνοντο ἄριστον·
οῖσι δ᾽ ὄις λάσιος μέγας ἐν κλισίῃ ἱέρευτο.
δὲ μάλ᾽ ἄγχ᾽ αὐτοῖο καθέζετο πότνια μήτηρ,

106. *τοῦ* = 128 *τέο*.
107. *ἐννῆμαρ*. Diese neun Tage s Streites mit den drei bis dahin it Hektor's Tod verflossenen (vgl. inleit. S. 33) machen die oben —213 angegebenen zwölf Tage s. Das *νεῖκος* ist das von 23—73 schilderte.
109. *κλέψαι — ἀργειφόντην* = Hier steht das Präsens *ὀτρύνουσιν*, weil der Streit bis diesen genblick als noch nicht beendigt zusehen ist.
110. *τόδε κῦδος*, den Ruhm, Hek's Leiche zur Bestattung frei zu en. — *προτιάπτω* = *προσάπτω*, *ατίθημι*.
111. *αἰδῶ — φυλάσσων*. Ein chtes Zeugma, indem *φυλάσσων* Verbindung mit seinen beiden Objecten nicht ganz denselben Begriff hat: die Scheu (und Dankbarkeit, vgl. *α*, 397—406) in mir bewahrend und deine Freundschaft zu erhalten suchend. — *μετόπισθε*, Schol. *εἰς ὕστερον*, für die Zukunft.
114. *φρεσὶ μαινομένῃσιν* vgl. besonders 54 *κωφὴν γαῖαν*. — *οὐδ᾽ ἀπέλυσεν*. Bei versöhnlicherer Gesinnung hätte er den Loskauf des Hektor auch von sich aus dem Priamos anbieten können.
117. *ἐφήσω*, ich will zusenden mit dem Befehle, *ἐντελουμένην ἐπιπέμψω* (Schol.).
124. *ἐντύνοντο ἄριστον* = Od. *π*, 2, wo das Bemerkte nachzusehen.
126 f. *καθέζετο — ὀνόμαζεν* vgl. *α*, 360 f. von derselben Thetis.

24 χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν.
«τέκνον ἐμόν, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων
σὴν ἔδεαι κραδίην, μεμνημένος οὔτε τι σίτου
οὔτ' εὐνῆς; ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
μίσγεσθ'· οὐ γάρ μοι δηρὸν βέῃ, ἀλλά τοι ἤδη
ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή.
ἀλλ' ἐμέθεν ξύνες ὦκα, Διὸς δέ τοι ἄγγελός εἰμι.
σκύζεσθαι σοί φησι θεούς, ἓὲ δ' ἔξοχα πάντων
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
Ἕκτορ' ἔχεις παρὰ νηυσὶ κορωνίσιν οὐδ' ἀπέλυσας.
ἀλλ' ἄγε δὴ λῦσον, νεκροῖο δὲ δέξαι ἄποινα.»
τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς
«τῇδ' εἴη· ὃς ἄποινα φέροι, καὶ νεκρὸν ἄγοιτο,
εἰ δὴ πρόφρονι θυμῷ Ὀλύμπιος αὐτὸς ἀνώγει.»
ὣς οἵ γ' ἐν νηῶν ἀγύρει μήτηρ τε καὶ υἱός
πολλὰ πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον.
Ἶριν δ' ὤτρυνε Κρονίδης εἰς Ἴλιον ἱρήν.
«βάσκ' ἴθι, Ἶρι ταχεῖα· λιποῦσ' ἕδος Οὐλύμποιο
ἄγγειλον Πριάμῳ μεγαλήτορι Ἴλιον εἴσω
λύσασθαι φίλον υἱόν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ' Ἀχιλλῆι φερέμεν, τά κε θυμὸν ἰήνῃ,
οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.

129. *σὴν ἔδεαι κραδίην* vgl. *ζ*, 202 *ὃν θυμὸν κατέδων.*

130 f. *ἀγαθὸν — μίσγεσθαι* vgl. 675 f. und die Anmerkung zu *ι*, 664 f. In unserer Stelle haben schon die alten Kritiker mit Recht einen solchen Rath besonders aus dem Munde der Mutter anstössig gefunden.

131 f. *οὐ — δηρὸν βέῃ — κραταιή* = *π*, 852 f. (vom sterbenden Patroklos).

133. *ἐμέθεν — εἰμι* = *β*, 26.

134—136. *σκύζεσθαι — ἀπέλυσας* nach 113—115. — *ἓέ* = *υ*, 171.

139. *τῇδ' εἴη*, einräumend, nur etwas weniger entschieden als *ὧδε ἔστω*: so sei es denn, sei's den so. Denselben Begriff hat auch de Optativ des erklärenden Hauptsatze *ἄγοιτο* (er führe mit sich) und vo diesen wird der des Nebensatze *ὃς — φέροι* (wer bringt) nachge zogen, vgl. zu Od. *α*, 47. (De gemäss ist die Anmerkung zu O *ξ*, 496 zu berichtigen.)

140. *πρόφρονι θυμῷ*, im Ernst vgl. Od. *κ*, 386 *πρόφρασσα*. Zu Sache vgl. das bei 594 Bemerkt

141. *ἐν νηῶν ἀγύρει* = *ο*, 42 *νεῶν ἐν ἀγῶνι*, vgl. *π*, 661 *ἐν νε κύων ἀγύρει.*

148. *οἶον*, näml. neben dem He rolde, der bei jeder Sendung diese Art sein muss.

κῆρύξ τίς οἱ ἕποιτο γεραίτερος, ὅς κ' ἰθύνοι 24
ἡμιόνους καὶ ἄμαξαν ἐΰτροχον, ἠδὲ καὶ αὖτις
νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
μηδέ τί οἱ θάνατος μελέτω φρεσί, μηδέ τι τάρβος·
τοῖον γάρ οἱ πομπὸν ὀπάσσομεν ἀργειφόντην,
ὃς ἄξει εἵως κεν ἄγων Ἀχιλῆι πελάσσῃ.
αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος,
οὔτ' αὐτὸς κτενέει, ἀπό τ' ἄλλους πάντας ἐρύξει·
οὔτε γάρ ἐστ' ἄφρων οὔτ' ἄσκοπος οὔτ' ἀλιτήμων,
ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.»
ὣς ἔφατ', ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα,
ἷξεν δ' ἐς Πριάμοιο, κίχεν δ' ἐνοπήν τε γόον τε.
παῖδες μὲν πατέρ' ἀμφὶ καθήμενοι ἔνδοθεν αὐλῆς
δάκρυσιν εἵματ' ἔφυρον, ὁ δ' ἐν μέσσοισι γεραιός
ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος· ἀμφὶ δὲ πολλή
κόπρος ἔην κεφαλῇ τε καὶ αὐχένι τοῖο γέροντος,
τήν ῥα κυλινδόμενος καταμήσατο χερσὶν ἑῇσιν.
θυγατέρες δ' ἀνὰ δώματ' ἰδὲ νυοὶ ὠδύροντο,
τῶν μιμνησκόμεναι οἳ δὴ πολέες τε καὶ ἐσθλοί
χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες.
στῆ δὲ παρὰ Πρίαμον Διὸς ἄγγελος, ἠδὲ προσηύδα
τυτθὸν φθεγξαμένη· τὸν δὲ τρόμος ἔλλαβε γυῖα.
«θάρσει, Δαρδανίδη Πρίαμε, φρεσί, μηδέ τι τάρβει·
οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ' ἱκάνω,

151. *νεκρὸν — τὸν ἔκτανε*, d. h. den Leichnam **dessen**, den Achilleus getödtet.

152. *μηδέ τι τάρβος*, erg. *ἔστω*, das auch in *μελέτω* liegt.

157. *ἄσκοπος*, nur hier und 186 = *ἀνόητος*, unüberlegt, unbesonnen.

163. *ἐντυπὰς — κεκαλυμμένος*, fest in den Mantel gehüllt, so dass sich die Umrisse der Glieder und des Hauptes in dem Gewande ausdrückten. Apollonius: *οὐχ ἁπλῶς ὧδε περικεκαλυμμένος, ἀλλ' ὡς τετυπῶσθαι τὸ πρόσωπον καὶ τὸ ὅλον σῶμα.*

164. *κόπρος* = 640. *χ*, 414. Das hinweisende *τοῖο* drückt die mitleidige Theilnahme aus.

165. *καταμήσατο*, *ἅπ. εἰρ.*, Schol. *ἀθρόως ἐπεσπάσατο*, vgl. *ε*, 482 *ἐπαμήσατο*.

170. *τυτθὸν φθεγξαμένη*, um den leidenden, tief erschütterten Greis zu schonen.

172. *κακὸν ὀσσομένη* (vgl. zu *α*, 105) durch meine Erscheinung Unglück verkündend. So 218 f. *μηδέ μοι αὐτὴ **ὄρνις** ἐνὶ μεγάροισι **κακὸς πέλευ*** Zu *τόδ' ἱκάνω* vgl. Od. *α*, 409 *τόδ' ἱκάνει*.

24 ἀλλ' ἀγαθὰ φρονέουσα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ' ἐλεαίρει.
λύσασθαί σ' ἐκέλευσεν Ὀλύμπιος Ἕκτορα δῖον,
δῶρα δ' Ἀχιλλῆι φερέμεν, τά κε θυμὸν ἰήνῃ,
οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
κῆρύξ τίς τοι ἕποιτο γεραίτερος, ὅς κ' ἰθύνοι
ἡμιόνους καὶ ἄμαξαν ἐύτροχον, ἠδὲ καὶ αὖτις
νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
μηδέ τί τοι θάνατος μελέτω φρεσί, μηδέ τι τάρβος·
τοῖος γάρ τοι πομπὸς ἅμ' ἕψεται ἀργειφόντης,
ὅς σ' ἄξει εἵως κεν ἄγων Ἀχιλῆι πελάσσῃ.
αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος,
οὔτ' αὐτὸς κτενέει, ἀπό τ' ἄλλους πάντας ἐρύξει·
οὔτε γάρ ἐστ' ἄφρων οὔτ' ἄσκοπος οὔτ' ἀλιτήμων,
ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.»
ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις,
αὐτὰρ ὅ γ' υἷας ἄμαξαν ἐύτροχον ἡμιονείην
ὁπλίσαι ἠνώγει, πείρινθα δὲ δῆσαι ἐπ' αὐτῆς.
αὐτὸς δ' ἐς θάλαμον κατεβήσετο κηώεντα
κέδρινον ὑψόροφον, ὃς γλήνεα πολλὰ κεχάνδει.
ἐς δ' ἄλοχον Ἑκάβην ἐκαλέσσατο, φώνησέν τε
«δαιμονίη, Διόθεν μοι Ὀλύμπιος ἄγγελος ἦλθεν
λύσασθαι φίλον υἱόν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ' Ἀχιλλῆι φερέμεν, τά κε θυμὸν ἰήνῃ.
ἀλλ' ἄγε μοι τόδε εἰπέ, τί τοι φρεσὶν εἴδεται εἶναι;
αἰνῶς γάρ μ' αὐτόν γε μένος καὶ θυμὸς ἄνωγεν
κεῖσ' ἰέναι ἐπὶ νῆας ἔσω στρατὸν εὐρὺν Ἀχαιῶν.»

173 f. *ἀγαθὰ φρονέουσα* = Od. α, 43 *ἀγαθὰ φρονέων*. — *Διὸς — ἐλεαίρει* = β, 26 f.

175—187. *λύσασθαι — ἀνδρός* = 146—158.

189 f. *ἄμαξαν — ὁπλίσαι* = Od. ζ, 72 f. *ἄμαξαν — ὅπλεον*. — Ueber *πείρινθα* vgl. zu Od. ο, 131. Aus der Menge der 229—235 aufgezählten Gegenstände lässt sich schliessen, dass die *πείρινς* ziemlichen Raum enthielt.

192. *γλήνεα* vgl. Od. σ, 298 *τρίγληνα* (*ἕρματα*). Apollon. Rhod. 4, 428, wo der Scholiast *γλήνεα* durch *ποικίλματα* erklärt.

197. *τί τοι — εἶναι* d. h. was räthst du mir, theilst du meine Ansicht?

ὣς φάτο, κώκυσεν δὲ γυνὴ καὶ ἀμείβετο μύθῳ 24
«ὤ μοι, πῇ δή τοι φρένες οἴχονθ᾽, ᾗς τὸ πάρος περ
ἔκλε᾽ ἐπ᾽ ἀνθρώπους ξείνους ἠδ᾽ οἷσιν ἀνάσσεις;
πῶς ἐθέλεις ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
ἀνδρὸς ἐς ὀφθαλμοὺς ὅς τοι πολέας τε καὶ ἐσθλούς
υἱέας ἐξενάριξε. σιδήρειόν νύ τοι ἦτορ.
εἰ γάρ σ᾽ αἱρήσει καὶ ἐσόψεται ὀφθαλμοῖσιν
ὠμηστὴς καὶ ἄπιστος ἀνήρ, ὅ δὲ οὔ σ᾽ ἐλεήσει
οὐδέ τί σ᾽ αἰδέσεται. νῦν δὲ κλαίωμεν ἄνευθεν
ἥμενοι ἐν μεγάρῳ. τῷ δ᾽ ὥς ποθι μοῖρα κραταιή
γιγνομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκον αὐτή,
ἀργίποδας κύνας ἆσαι, ἑῶν ἀπάνευθε τοκήων,
ἀνδρὶ πάρα κρατερῷ, τοῦ ἐγὼ μέσον ἧπαρ ἔχοιμι
ἐσθέμεναι προσφῦσα· τότ᾽ ἄντιτα ἔργα γένοιτο
παιδὸς ἐμοῦ, ἐπεὶ οὔ ἑ κακιζόμενόν γε κατέκτα,
ἀλλὰ πρὸ Τρώων καὶ Τρωιάδων βαθυκόλπων
ἑσταότ᾽, οὔτε φόβου μεμνημένον οὔτ᾽ ἀλεωρῆς.»

202. ἔκλε᾽ für ἐκλέεο mit zurückgezogenem Accente (vgl. zu α, 275 ἀποαίρεο) von κλέομαι Od. ν, 299.

203. πῶς ἐθέλεις d. h. ist es möglich, dass du wollest. Vgl. Od. β, 364 πῇ δ᾽ ἐθέλεις ἰέναι πολλὴν ἐπὶ γαῖαν.

205. σιδήρειον, Bezeichnung der höchsten Verwegenheit. Vgl. Horat. Carm. 1, 3, 9 *Illi robur et aes triplex Circa pectus erat.*

206. καὶ ἐσόψεται, herabsteigend: und nur mit den Augen erblickt.

207. ὁ δὲ (nach Povelsen) οὔ σ᾽ ἐλεήσει, dann wird er sich dein nicht erbarmen. Vgl. χ, 123 f. — 209 τῷ δ᾽ ὥς ποθι μοῖρα κραταιή κτἑ. Ein Anakoluthon (Anapodoton), indem kein Nachsatz zu ὡς — ἐπένησε folgt, vgl. zu Od. ϑ, 564 ἀλλὰ τόδ᾽ ὥς ποτε κτἑ. Der einfache Nachsatz, der hier hätte folgen sollen (etwa οὕτω γενήσεται oder γενέσθω) liegt gewissermassen doch in dem abhängigen Infinitiv 211 ἀργίποδας κύνας ἆσαι — κρατερῷ, und musste namentlich über der parenthetischen Verwünschung τοῦ ἐγὼ — προσφῦσα vergessen werden. — γιγνομένῳ — τέκον = υ, 128.

212 f. μέσον, bis in die Mitte, also tief hinein: in Beziehung auf ἐσθέμεναι προσφῦσα. — ἔχοιμι, Schol. κατέχοιμι εἰς τὸ ἐσθίειν. — προσφῦσα, mit den Zähnen, näml. τῷ ἥπατι, also einbeissend, wie Od. α, 381 ὀδὰξ ἐν χείλεσι φύντες.

213. ἄντιτα ἔργα vgl. zu Od. ρ, 51 (= 60) Vergeltung, Rache für Hektor. Die Auslassung von ἄν bei γένοιτο ist durch den vorhergehenden Optativ ἔχοιμι (möchte ich haben) veranlasst, vgl. Od. α, 47 ὡς ἀπόλοιτο ὅ τις — ῥέζοι.

214. ἐπεὶ — γε, denn wahrlich nicht als Feigling. — κακιζόμενον, Schol. δειλὸν καὶ ἄνανδρον.

215. πρὸ — ἑσταότα vgl. δ, 156 οἶον προστήσας πρὸ Ἀχαιῶν.

24 *τὴν δ' αὖτε προσέειπε γέρων Πρίαμος θεοειδής*
«μή μ' ἐθέλοντ' ἰέναι κατερύκανε, μηδέ μοι αὐτή
ὄρνις ἐνὶ μεγάροισι κακὸς πέλευ· οὐδέ με πείσεις.
εἰ μὲν γάρ τίς μ' ἄλλος ἐπιχθονίων ἐκέλευεν,
ἢ οἳ μάντιές εἰσι, θυοσκόοι ἢ ἱερῆες,
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·
νῦν δ' — αὐτὸς γὰρ ἄκουσα θεοῦ καὶ ἐσέδρακον ἄντην —
εἶμι, καὶ οὐχ ἅλιον ἔπος ἔσσεται. εἰ δέ μοι αἶσα
τεθνάμεναι παρὰ νηυσὶν Ἀχαιῶν χαλκοχιτώνων,
βούλομαι· αὐτίκα γάρ με κατακτείνειεν Ἀχιλλεύς
ἀγκὰς ἑλόντ' ἐμὸν υἱόν, ἐπὴν γόου ἐξ ἔρον εἵην.»
ἦ, καὶ φωριαμῶν ἐπιθήματα κάλ' ἀνέῳγεν,
ἔνθεν δώδεκα μὲν περικαλλέας ἔξελε πέπλους,
δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
τόσσα δὲ φάρεα καλά, τόσους δ' ἐπὶ τοῖσι χιτῶνας.
χρυσοῦ δὲ στήσας ἔφερεν δέκα πάντα τάλαντα,
ἐκ δὲ δύ' αἴθωνας τρίποδας, πίσυρας δὲ λέβητας,
ἐκ δὲ δέπας περικαλλές, ὅ οἱ Θρῇκες πόρον ἄνδρες
ἐξεσίην ἐλθόντι, μέγα κτέρας· οὐδέ νυ τοῦ περ

220. *ἄλλος ἐπιχθονίων*, ein anderer Sterblicher (ausser mir selbst), wenn auch aus angeblichem Auftrage eines Gottes, wie die *μάντιες* u. s. w. Ueber *ἐπιχθονίων* vgl. zu Od. *ρ*, 115.

221. *θυοσκόοι ἢ ἱερῆες. θυοσκόος* kann nach seiner etymologischen Grundbedeutung (vgl. zu Od. *φ*, 145) gar wohl auch Beiwort zu *ἱερεύς* sein, also = *ἐμπυροσκόπος, πυρκόος.*

222. *ψεῦδος — μᾶλλον* aus *β*, 81, wo der Vers genauer in den Zusammenhang passt.

223. *αὐτὸς — ἄντην* vgl. Virg. Aen. 4, 358 *ipse deum manifesto in lumine vidi Intrantem muros vocemque his auribus hausi.*

224. *εἶμι — ἔσσεται* vgl. 92.

226. *βούλομαι*, erg. *τοῦτο*, [illegible] *θνάμεναι.*

227. *γόου ἐξ ἔρον εἵην*, Sch[illegible] *κορεσθείην τῆς τοῦ ἐπ' α*[illegible] *τῷ θρήνου ἐπιθυμίας.*

228. *φωριαμῶν* vgl. zu Od. [illegible] 104.

229—231. *πέπλους — χιτῶνα*[illegible] Schol. *πέπλοι οὓς περιεβάλλον*[illegible] *μόναι γυναῖκες* (= *ἑανοί*)· *χιτ*[illegible] *δὲ ἀνδρεῖον ἔνδυμα, φᾶρος ἱμ*[illegible] *τιον ἀνδρῶν καὶ γυναικῶν, χλαῖ*[illegible] *τὸ περίβλημα τῆς κλίνης.* Zu *δ*[illegible]*δεκα — τόσσους — τόσσα* vgl. O[illegible] *ξ*, 100 f. *δώδεκα — τόσα — τόσ*[illegible] *— τόσα.*

232. *ἔφερεν* = *ἐξέφερεν*, w[illegible] die zwei folgenden *ἐκ δέ* zeige[illegible] Ueber *τρίποδας — λέβητας* vgl. [illegible] *ι*, 123 *λέβητας.*

235. *ἐξεσίην ἐλθόντι* vgl. zu O[illegible] *φ*, 20 *ἐξεσίην — ἦλθεν.*

φείσατ' ἐνὶ μεγάροις ὁ γέρων, περὶ δ' ἤθελε θυμῷ
λύσασθαι φίλον υἱόν. ὁ δὲ Τρῶας μὲν ἅπαντας
αἰθούσης ἀπέεργεν ἔπεσσ' αἰσχροῖσιν ἐνίσσων.
«ἔρρετε, λωβητῆρες ἐλεγχέες. οὔ νυ καὶ ὑμῖν
οἴκοι ἔνεστι γόος, ὅτι μ' ἤλθετε κηδήσοντες;
ἦ ὀνόσασθ' ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν,
παῖδ' ὀλέσαι τὸν ἄριστον; ἀτὰρ γνώσεσθε καὶ ὔμμες·
ῥηίτεροι γὰρ μᾶλλον Ἀχαιοῖσιν δὴ ἔσεσθε
κείνου τεθνηῶτος ἐναιρέμεν. αὐτὰρ ἔγωγε,
πρὶν ἀλαπαζομένην τε πόλιν κεραϊζομένην τε
ὀφθαλμοῖσιν ἰδεῖν, βαίην δόμον Ἄιδος εἴσω.»
ἦ, καὶ σκηπανίῳ δίεπ' ἀνέρας· οἱ δ' ἴσαν ἔξω
σπερχομένοιο γέροντος. ὁ δ' υἱάσιν οἷσιν ὁμόκλα,
νεικείων Ἕλενόν τε Πάριν τ' Ἀγάθωνά τε δῖον
Πάμμονά τ' Ἀντίφονόν τε βοὴν ἀγαθόν τε Πολίτην
Δηίφοβόν τε καὶ Ἱππόθοον καὶ Δῖον ἀγαυόν.
ἐννέα τοῖς ὁ γεραιὸς ὁμοκλήσας ἐκέλευεν
«σπεύσατέ μοι, κακὰ τέκνα, κατηφόνες. αἴθ' ἅμα πάντες

236. *περί* gehört als Verstärkung zu *ἤθελε*, zu *θυμῷ* gezogen wäre es müssig im vorigen Verse.

238. *ἔπεσσ' αἰσχροῖσιν* activ: mit schändenden, beschimpfenden Worten.

240. *κηδήσοντες*, Paraphrast. *λυπήσοντες*, mich durch eure störende Gegenwart zu beschweren.

241. *ἦ ὀνόσασθε* (vgl. zu *ρ*, 173 *ὠνοσάμην*), Schol. *ἐμέμψασθε, ἐξεφαυλίσατε*, achtet ihr das für nichts oder für zu wenig, so dass ihr mein Leid noch vergrössern müsset.

242. *γνώσεσθε καὶ ὔμμες*, näml. was auch ihr an ihm (an Hektor) verloren habt.

243. *ῥηίτεροι* wird durch den Infinitiv *ἐναιρέμεν* näher bestimmt.

247. *ἦ, καὶ σκηπανίῳ δίεπ' ἀνέρας*. Die drei ersten Worte wie *ν*, 59; *δίεπε* = *β*, 207 hier: er fuhr mit dem Stabe durch die Männer hin, um sie zurück und aus einander zu scheuchen.

248. *σπερχομένοιο γέροντος*, da der Greis so eiferte, so ungestüm war.

250. *βοὴν ἀγαθόν τε Πολίτην*. Die Copula *τέ* ist des Versbedürfnisses wegen versetzt, vgl. zu *β*, 136 und *ε*, 878.

251. *Ἱππόθοον*. Ein anderer (Pelasgischer) Führer dieses Namens kam *β*, 840 vor.

252. *ἐννέα*. Nach *ζ*, 244 ff. hatte Priamos im Ganzen funfzig Söhne gehabt, aber vgl. 256—260.

253. *κατηφόνες* nach Apollonius: *κατηφείας* (*γ*, 51) *ἄξια πράττοντες*. Es scheint eine ähnliche eig. abstracte Bezeichnung wie 260 *ἐλέγχεα*, vgl. zu *β*, 235. Das vorhergehende *σπεύσατέ μοι* zielt schon auf die am Ende der Rede folgende Aufforderung 263 *οὐκ ἂν δή μοι — ἐφοπλίσσαιτε*; aber ehe er

Ἕκτορος ὠφέλετ᾽ ἀντὶ θοῆς ἐπὶ νηυσὶ πεφάσθαι.
ὤ μοι ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίῃ ἐν εὐρείῃ, τῶν δ᾽ οὔ τινά φημι λελεῖφθαι,
Μήστορά τ᾽ ἀντίθεον καὶ Τρωΐλον ἱππιοχάρμην
Ἕκτορά θ᾽, ὃς θεὸς ἔσκε μετ᾽ ἀνδράσιν, οὐδὲ ἐῴκει
ἀνδρός γε θνητοῦ πάις ἔμμεναι ἀλλὰ θεοῖο.
τοὺς μὲν ἀπώλεσ᾽ Ἄρης, τὰ δ᾽ ἐλέγχεα πάντα λέλειπτα
ψεῦσταί τ᾽ ὀρχησταί τε, χοροιτυπίῃσιν ἄριστοι,
ἀρνῶν ἠδ᾽ ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.
οὐκ ἂν δή μοι ἄμαξαν ἐφοπλίσσαιτε τάχιστα,
ταῦτά τε πάντ᾽ ἐπιθεῖτε, ἵνα πρήσσωμεν ὁδοῖο;»
ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα πατρὸς ὑποδδείσαντες ὁμοκλήν
ἐκ μὲν ἄμαξαν ἄειραν ἐύτροχον ἡμιονείην
καλὴν πρωτοπαγέα, πείρινθα δὲ δῆσαν ἐπ᾽ αὐτῆς,
κὰδ δ᾽ ἀπὸ πασσαλόφι ζυγὸν ᾕρεον ἡμιόνειον
πύξινον ὀμφαλόεν, εὖ οἰήκεσσιν ἀρηρός,

zu dieser kommt, muss er noch durch Verwünschungen und Schmähworte seinem Unmuthe Luft machen.

255. ὤ — πανάποτμος vgl. zu σ, 54 ὤμοι ἐγὼ δειλὴ κτἑ.

256. τῶν δ᾽ οὐ — λελεῖφθαι, Nebenbestimmung oder Ergänzung des vorangehenden Satzes ἐπεὶ τέκον υἷας κτἑ. = ὧν οὔ τις λέλειπται. Von τέκον hangen daher auch die folgenden Accusative Μήστορα — Τρωΐλον — Ἕκτορά τε ab.

257. Τρωΐλον ἱππιοχάρμην. Wie das Schicksal dieses jugendlichen Helden von den spätern Dichtern ausgemalt wurde, sehen wir bei Virgil Aen. 1, 474—478.

258. ὃς θεὸς ἔσκε μετ᾽ ἀνδράσιν. Könnte hier auch δαίμων für θεός stehen? Vgl. zu Od. β, 134.

262. ἐπιδήμιοι ἁρπακτῆρες, als übermüthige Prasser. Der Raub und das Beutemachen im Kriege ist ehrenvoll.

263. οὐκ ἂν δή μοι κτἑ. vgl. Od. ζ, 57 οὐκ — ἐφοπλίσσειας ἀπήνην.

264. ταῦτα — πάντα, die 229—234 genannten Geschenke für Achileus, vgl. 275 f.

266. ἐκ μὲν — ἄειραν, wahrscheinlich aus dem Thorweg, von den ἐνώπια weg (vgl. zu Od. δ, 4… oder von den βωμοί herab (Ilia… θ, 441).

267. πρωτοπαγέα, Schol. πρώ… τον πεπηγυῖαν, καινήν, vgl. ε, 19…

268. ζυγόν vgl. zu Od. γ, 48… Das Joch wurde vor dem Anspan… nen vorn an die Deichsel gebunden… und die Pferde darunter geführ… Es besteht hauptsächlich aus einem… geraden, quer gelegten Holze, dem… Jochbalken, auf dessen oberer Flä… che in der Mitte ein Knopf (ὀμφα… λός 273 vgl. 269 ὀμφαλόεν) zu… Befestigung des Jochriemens (ζυγό… δεσμον 270) angebracht ist; darunter kommen die λέπαδνα (vgl. z… ε, 730).

269. οἰήκεσσι, Schol. κρίκοις δι᾽ ὧν ἐνειρόμεναι αἱ ἡνίαι τοὺς ἵππους οἰακίζουσιν, Ringe um di… dadurch gehenden Leinen in imme…

ἐκ δ' ἔφερον ζυγόδεσμον ἅμα ζυγῷ ἐννεάπηχυ.
ιαὶ τὸ μὲν εὖ κατέθηκαν ἐυξέστῳ ἐπὶ ῥυμῷ,
τέζῃ ἔπι πρώτῃ, ἐπὶ δὲ κρίκον ἕστορι βάλλον,
ρὶς δ' ἑκάτερθεν ἔδησαν ἐπ' ὀμφαλόν, αὐτὰρ ἔπειτα
ξείης κατέδησαν, ὑπὸ γλωχῖνα δ' ἔκαμψαν.
κ θαλάμου δὲ φέροντες ἐυξέστου ἐπ' ἀπήνης
ήεον Ἑκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα,
εῦξαν δ' ἡμιόνους κρατερώνυχας ἐντεσιεργούς,
ούς ῥά ποτε Πριάμῳ Μυσοὶ δόσαν ἀγλαὰ δῶρα.
ππους δὲ Πριάμῳ ὕπαγον ζυγόν, οὓς ὁ γεραιός
ὐτὸς ἔχων ἀτίταλλεν ἐυξέστῃ ἐπὶ φάτνῃ.
τὼ μὲν ζευγνύσθην ἐν δώμασιν ὑψηλοῖσιν
ῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες·

leicher Lage und Richtung zu behalten.

270 f. *ἐκ δ' ἔφερον.* Die Natur er Sache bringt es mit sich, dass e zuerst das Hauptstück, das Joch elbst, herausholen und dann erst as Nebenstück, den Jochriemen, ur Befestigung von jenem, so dass eig. heissen sollte *ζυγὸν ἅμα γοδέσμῳ*. Daher ist auch *τὸ μέν* folgenden Verse auf *ζυγόν* zu eziehen.

272. *πέζῃ ἔπι πρώτῃ* (= ε, 729 *ἄκρῳ* (*ῥυμῷ*), am äussersten orderende, das nach Grashof eschlagen, d. h. mit einer metalnen Einfassung belegt war. — *ὶ δὲ — βάλλον,* Paraphr. *ἐπέβαν τὸν κρίκον τῷ πασσάλῳ,* sie gten den Ring (unten am Jochlken) an den Nagel, (Spannnagel) er Haken, wahrsch. durch Einngen oder indem der Nagel den ng an die Deichsel befestigte.

273. *τρὶς — ἔδησαν,* erg. *τὸ ζυδεσμον* oder *τῷ ζυγοδέσμῳ,* im egensatze von *τὸ μέν* 271. Den chriemen legte man mit seiner tte unten an das vordere Deichende, nahm dann beide Enden eimal rechts und links (*ἑκάτερν*) über's Kreuz hinauf und über den Knopf hin (*ἐπ' ὀμφαλόν*) und band sie dann der Reihe nach, d. h. in mehrern Knoten, so viele es gab (*ἑξείης*) unten (unter der Deichsel und hinter dem Ringe) fest.

274. *ὑπὸ γλωχῖνα δ' ἔκαμψαν,* und bogen sie (die Enden des Jochriemens, damit sie nicht vorstehen) unter die Spitze, das spitzige und wahrsch. mit einer Art Widerhaken versehene Ende des durch die Deichsel gehenden Pflockes.

277. *ἐντεσιεργούς,* Schol. *τοὺς ὑποζυγίους, τοὺς ἅρματα ἕλκοντας,* die im Geschirr (den Sielen) arbeitenden.

278. *Μυσοί,* Nachbarn der Heneter (*Ἐνετοί*) *ὅθεν ἡμιόνων γένος ἀγροτεράων* (*β,* 852).

279. *ἵππους δὲ Πριάμῳ κτἑ.* näml. an den wahrsch. zweirädrigen Wagen, auf dem Priamos selbst fahren sollte, vgl. 322—327.

281. *τὼ μὲν ζευγνύσθην* (*κῆρυξ καὶ Πρίαμος*), sie waren eben am Anspannen: Zeitbestimmung zu 283. Man übersehe nicht den doppelten Unterschied zwischen *ζευγνύσθην* und *ζεῦξαν* (277) vgl. Od. *γ,* 492 mit 476. 478. — *ἐν δώμασιν ὑψηλοῖσιν* d. h. im Thorwege, vgl. 323 *ἐκ προθύροιο κτἑ.*

24 ἀγχίμολον δέ σφ' ἦλθ' Ἑκάβη τετιηότι θυμῷ,
οἶνον ἔχουσ' ἐν χειρὶ μελίφρονα δεξιτερῆφιν,
χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην.
στῆ δ' ἵππων προπάροιθεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζ
«τῆ, σπεῖσον Διὶ πατρί, καὶ εὔχεο οἴκαδ' ἱκέσθαι
ἂψ ἐκ δυσμενέων ἀνδρῶν, ἐπεὶ ἂρ σέ γε θυμός
ὀτρύνει ἐπὶ νῆας, ἐμεῖο μὲν οὐκ ἐθελούσης.
ἀλλ' εὔχευ σύ γ' ἔπειτα κελαινεφέι Κρονίωνι
Ἰδαίῳ, ὅς τε Τροίην κατὰ πᾶσαν ὁρᾶται,
αἴτει δ' οἰωνόν, ταχὺν ἄγγελον, ὅς τε οἷ αὐτῷ
φίλτατος οἰωνῶν, καί εὗ κράτος ἐστὶ μέγιστον,
δεξιόν, ὄφρα μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας
τῷ πίσυνος ἐπὶ νῆας ἴῃς Δαναῶν ταχυπώλων.
εἰ δέ τοι οὐ δώσει ἑὸν ἄγγελον εὐρύοπα Ζεύς,
οὐκ ἂν ἔγωγέ σ' ἔπειτα ἐποτρύνουσα κελοίμην
νῆας ἐπ' Ἀργείων ἰέναι, μάλα περ μεμαῶτα.»
τὴν δ' ἀπαμειβόμενος προσέφη Πρίαμος θεοειδής
«ὦ γύναι, οὐ μέν τοι τόδ' ἐφιεμένῃ ἀπιθήσω·
ἐσθλὸν γὰρ Διὶ χεῖρας ἀνασχέμεν, αἴ κ' ἐλεήσῃ.»
ἦ ῥα, καὶ ἀμφίπολον ταμίην ὤτρυν' ὁ γεραιός
χερσὶν ὕδωρ ἐπιχεῦαι ἀκήρατον· ἡ δὲ παρέστη
χέρνιβον ἀμφίπολος πρόχοόν θ' ἅμα χερσὶν ἔχουσα.
νιψάμενος δὲ κύπελλον ἐδέξατο ἧς ἀλόχοιο·

285. *χρυσέῳ — κιοίτην* = Od. *λ*, 149. vgl. zu Iliad. *υ*, 259. Durch *λείψαντε* wird der Herold mit Priamos zusammengefasst, während eigentlich nur dieser es thut, vgl. 287. 306.

290 f. *εὔχευ σύ γ' ἔπειτα*, nach der Spende und dem ersten allgemeinern Gebete 287. — Zu *Ἰδαίῳ* vgl. *γ*, 276 *Ἴδηθεν μεδέων*. — *Τροίην πᾶσαν* d. h. Stadt und Gebiet im weitern Sinne, vgl. *θ*, 52 *εἰσορόων Τρώων τε πόλιν καὶ νῆας Ἀχαιῶν*.

292 f. *ὅς τε — καί εὗ*. Dieselbe Verbindung wie *α*, 79; zu *εὗ* vgl. *ο*, 427.

297. *οὐκ ἂν — κελοίμην* d. h. ich würde es dir abrathen, d abmahnen.

300. *ἐφιεμένῃ*, Schol. *ἐντελ μένῃ, ὑποτιθεμένῃ*. Zur Beru gung der Hekabe erfüllt Prian ihren Wunsch, da er nach der A forderung der Iris 171—187 ü den glücklichen Ausgang nicht gewiss sein kann.

304. *χέρνιβον*. Diese Form hier zur Bezeichnung des Gefäss das sonst (der *πρόχοος* entgeg gesetzt) *λέβης* genannt wird, z. Od. *α*, 137. Schol. *τὸ ἀγγεῖον ὑποδεχόμενον τὸ ὕδωρ*.

305. *ἐδέξατο — ἀλόχοιο* vgl. *α*, 596 *παιδὸς ἐδέξατο*.

ὔχετ᾽ ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον
ὐρανὸν εἰσανιδών, καὶ φωνήσας ἔπος ηὔδα.
«Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε,
δός μ᾽ ἐς Ἀχιλλῆος φίλον ἐλθεῖν ἠδ᾽ ἐλεεινόν,
πέμψον δ᾽ οἰωνόν, ταχὺν ἄγγελον, ὅς τε σοὶ αὐτῷ
φίλτατος οἰωνῶν, καί εὑ κράτος ἐστὶ μέγιστον,
δεξιόν, ὄφρα μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας
τῷ πίσυνος ἐπὶ νῆας ἴω Δαναῶν ταχυπώλων.»
ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε μητίετα Ζεύς.
ὐτίκα δ᾽ αἰετὸν ἧκε, τελειότατον πετεηνῶν,
όρφνον θηρητῆρ᾽, ὃν καὶ περκνὸν καλέουσιν.
σση δ᾽ ὑψορόφοιο θύρη θαλάμοιο τέτυκται
νέρος ἀφνειοῖο, ἐυκλήις ἀραρυῖα,
όσσ᾽ ἄρα τοῦ ἑκάτερθεν ἔσαν πτερά· εἴσατο δέ σφιν
εξιὸς ἀίξας ὑπὲρ ἄστεος. οἱ δὲ ἰδόντες
ήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
περχόμενος δ᾽ ὁ γέρων ξεστοῦ ἐπεβήσετο δίφρου,
δ᾽ ἔλασε προθύροιο καὶ αἰθούσης ἐριδούπου.
ρόσθε μὲν ἡμίονοι ἕλκον τετράκυκλον ἀπήνην,
ς Ἰδαῖος ἔλαυνε δαΐφρων· αὐτὰρ ὄπισθεν

306. *μέσῳ ἕρκεϊ* vgl. zu *π*, 231
l Virg. Aen. 2, 512 *Aedibus in*
diis nudoque sub aetheris axe
gens ara fuit cet.
08. *Ζεῦ — μέγιστε* = *γ*, 276.
09. *δός μ᾽ — ἐλθεῖν* vgl. Od.
327 *δός μ᾽ ἐς Φαίηκας φίλον*
. ἑ., welchem Vers der unsrige
hgebildet zu sein scheint.
15. *τελειότατον πετεηνῶν* vgl.
θ, 247.
16. *μόρφνος* vergleichen die
mmatiker mit *ὀρφνός*, und er-
en es durch *σκοτεινός*. Hier
eichnet es eine Adler a r t, und
ητῆρα ist adjectivische Appo-
n, vgl. *φ*, 252 *αἰετοῦ μέλανος,*
θηρητῆρος. Auch *περκνός*
l von Aristarch — wohl mit
it — als Name einer Adlerart,
: als Bezeichnung einer Farbe
genommen; darum *καὶ περκνὸν κα-
λέουσιν*, nämlich nicht nur *μόρφνον*.

318. *ἐυκλήις ἀραρυῖα*, Paraphr. *εὔκλειστος ἡρμοσμένη*, die wohlgeriegelte (gut verschlossene), fest (an die Pfosten) gefügte, eingepasste. Vgl. Od. *β*, 344 *κληισταὶ δ᾽ ἔπεσαν σανίδες πυκινῶς ἀραρυῖαι*.

319. *πτερά* sind hier die ganzen ausgebreiteten Flügel.

320. *δεξιὸς ἀίξας* vgl. Od. *β*, 154 *δεξιὼ ἤιξαν διά τ᾽ οἰκία καὶ πόλιν αὐτῶν*.

322. *ξεστοῦ δίφρου*, dessen Gegensatz zu *ἀπήνην* schon 277—281 angedeutet ist.

323 f. *ἐκ δ᾽ — — — ἐριδούπου* = Od. *γ*, 493. Zu *τετράκυκλον* vgl. Od. *ι*, 242.

325. *Ἰδαῖος δαΐφρων*, auch hier der wackere, treffliche.

24 ἵπποι, τοὺς ὁ γέρων ἐφέπων μάστιγι κέλευεν
καρπαλίμως κατὰ ἄστυ. φίλοι δ' ἅμα πάντες ἕποντο
πόλλ' ὀλοφυρόμενοι ὡς εἰ θάνατόνδε κιόντα.
οἱ δ' ἐπεὶ οὖν πόλιος κατέβαν, πεδίον δ' ἀφίκοντο,
οἱ μὲν ἄρ' ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο,
παῖδες καὶ γαμβροί, τὼ δ' οὐ λάθον εὐρύοπα Ζῆν
ἐς πεδίον προφανέντε· ἰδὼν δ' ἐλέησε γέροντα.
αἶψα δ' ἄρ' Ἑρμείαν υἱὸν φίλον ἀντίον ηὔδα
«Ἑρμεία· σοὶ γάρ τε μάλιστά γε φίλτατόν ἐστιν
ἀνδρὶ ἑταιρίσσαι, καί τ' ἔκλυες ᾧ κ' ἐθέλῃσθα·
βάσκ' ἴθι, καὶ Πρίαμον κοίλας ἐπὶ νῆας Ἀχαιῶν
ὣς ἄγαγ', ὡς μήτ' ἄρ τις ἴδῃ μήτ' ἄρ τε νοήσῃ
τῶν ἄλλων Δαναῶν πρὶν Πηλείωνάδ' ἱκέσθαι.»
    ὣς ἔφατ', οὐδ' ἀπίθησε διάκτορος ἀργειφόντης.
αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα
ἀμβρόσια χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν
ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῇς ἀνέμοιο·
εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει

329. *πόλιος κατέβαν*, von der Höhe der Stadt (theils im Wagen, theils zu Fuss) herabkamen. Od. ω, 205 *ἐκ πόλιος κατέβαν.*

330. *οἱ μὲν ἄρ'* im Gegensatz von *τὼ δέ* = *οἱ μὲν ἄλλοι*, die *φίλοι πάντες* 327 oder nach 331 *παῖδες καὶ γαμβροί*, die dem Priamos das Geleit gaben.

331. *εὐρύοπα Ζῆν* vgl. zu θ, 206. Es ist als ob der Gott des weiten Himmels sie erst bemerkte, als sie in's Freie kommen.

333. *Ἑρμείαν — φίλον* vgl. β, 103 f. Während Iris, die sonst überall in der Ilias als Götterbotin erscheint, nur die ihr ertheilten Aufträge ausrichtet und selten etwas aus sich dazu thut wie ο, 201—204, wird Hermes — hier und in der ganzen Odyssee — zu solchen Botschaften gebraucht, zu denen auch selbstthätige Klugheit und Geschick erfordert werden. Zur ganzen Sendung des Hermes vgl. Od. ε, 28—4 Virg. Aen. 4, 238—246. Hier er wesentlich Beschützer und G leitsmann.

334 f. *μάλιστα φίλτατον* vgl. 57 f. *μάλιστα δὲ — ἄγχιστα ἐῴκ* — *ἑταιρίσσαι*, Schol. *ἑταῖρον* *νέσθαι*, dich zu gesellen. — *τ' ἔκλυες*, und du hast noch i mer erhört, erhörst jedesmal.

337. *μήτ' ἄρ τε νοήσῃ* vgl. 89 *οὔτ' ἄρ τε γέφυραι.*

338. *Πηλείωνάδε* nach Analo von *εἰς Ἀγαμέμνονα δῖον ἄγ* η, 312. Das Gewöhnlichere wä allerdings *Πηλείωνόσδε* = *εἰς Π λείωνος* (309).

339—345. *ὣς ἔφατ' — ἀργ φόντης*, wörtlich = Od. ε, 43—4 Das *ἀνδρῶν ὄμματα θέλγει* wi im gegenwärtigen Falle 445 schlec hin durch *τοῖσι δ' ἐφ' ὕπνον ἔχε* bezeichnet.

ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει. 24
τὴν μετὰ χερσὶν ἔχων πέτετο κρατὺς ἀργειφόντης.
αἶψα δ' ἄρα Τροίην τε καὶ Ἑλλήσποντον ἵκανεν,
βῆ δ' ἰέναι κούρῳ αἰσυμνητῆρι ἐοικώς,
πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥβη.
οἱ δ' ἐπεὶ οὖν μέγα σῆμα παρὲξ Ἴλοιο ἔλασσαν,
στῆσαν ἄρ' ἡμιόνους τε καὶ ἵππους, ὄφρα πίοιεν,
ἐν ποταμῷ· δὴ γὰρ καὶ ἐπὶ κνέφας ἤλυθε γαῖαν.
τὸν δ' ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράσσατο κῆρυξ
Ἑρμείαν, ποτὶ δὲ Πρίαμον φάτο, φώνησέν τε
«φράζεο, Δαρδανίδη· φραδέος νόου ἔργα τέτυκται.
ἄνδρ' ὁρόω, τάχα δ' ἄμμε διαρραίσεσθαι ὀίω.
ἀλλ' ἄγε δὴ φεύγωμεν ἐφ' ἵππων, ἤ μιν ἔπειτα
γούνων ἁψάμενοι λιτανεύσομεν, αἴ κ' ἐλεήσῃ.»
ὣς φάτο, σὺν δὲ γέροντι νόος χύτο, δείδιε δ' αἰνῶς,
ὀρθαὶ δὲ τρίχες ἔσταν ἐνὶ γναμπτοῖσι μέλεσσιν,
στῆ δὲ ταφών. αὐτὸς δ' ἐριούνιος ἐγγύθεν ἐλθών,
χεῖρα γέροντος ἑλὼν ἐξείρετο καὶ προσέειπεν.

347 f. *κούρῳ αἰσυμνητῆρι*, Schol. *βασιλικῷ, βασιλεῖ*, einem fürstlichen Jünglinge; vgl. Od. *κ*, 278 *νεηνίῃ ἀνδρὶ ἐοικώς* und von der verwandelten Athene ebend. *ν*, 222 f. *ἀνδρὶ — νέῳ — παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασιν.*

348. *πρῶτον — ἥβη* = Od. *κ*, 278.

349. *σῆμα — Ἴλοιο* vgl. zu *κ*, 415. *λ*, 166.

351. *δὴ γὰρ — γαῖαν*, denn schon war auch Dunkel über die Erde gekommen. Darum durften sie es wagen, auch in der Nähe des feindlichen Lagers (365 – 367) ihre Wagen eine Weile stehen zu lassen. Zugleich giebt dieser Halt dem Hermes Gelegenheit, dem Wagen des Priamos zu nahen.

352. *ἐξ ἀγχιμόλοιο* verbinde mit *ἰδών*. Nur der Herold bemerkt ihn, weil Priamos ganz in seine Sorgen und Erwartungen vertieft ist.

354. *φραδέος νόου ἔργα τέτυκται*, es ist (die gegenwärtige Lage ist) Sache verständigen Sinnes, es bedarf vorsichtiger Klugheit; *συνετοῦ νοῦ δεῖται ὁ παρὼν καιρός.* Das Simplex *φραδής* kommt nur hier vor.

355. *διαρραίσεσθαι* passiv = *διαφθαρήσεσθαι* vgl. Od. *α*, 251 (*β*, 48) *τάχα δή με διαρραίσουσι καὶ αὐτόν.* Diese unmännliche, gleich das Aeusserste besorgende Aengstlichkeit erregt wenig poetisches Interesse.

356. *φεύγωμεν ἐφ' ἵππων.* Den andern Wagen mit den Geschenken will er, um sich selbst leichter in Sicherheit zu bringen, dem Gefürchteten überlassen.

359. *ἐνὶ — μέλεσσιν* d. h. am ganzen Leibe.

360. *στῆ*, er stand auf dem Wagen auf. Doch ist sein Benehmen würdiger, als das des Heroldes.

24 «πῆ, πάτερ, ὧδ' ἵππους τε καὶ ἡμιόνους ἰθύνεις
νύκτα δι' ἀμβροσίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι;
οὐδὲ σύ γ' ἔδδεισας μένεα πνείοντας Ἀχαιούς,
οἵ τοι δυσμενέες καὶ ἀνάρσιοι ἐγγὺς ἔασιν;
τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν
τοσσάδ' ὀνείατ' ἄγοντα, τίς ἂν δή τοι νόος εἴη;
οὔτ' αὐτὸς νέος ἐσσί, γέρων δέ τοι οὗτος ὀπηδεῖ,
ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
ἀλλ' ἐγὼ οὐδέν σε ῥέξω κακά, καὶ δέ κεν ἄλλον
σεῦ ἀπαλεξήσαιμι· φίλῳ δέ σε πατρὶ ἐίσκω.»
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής
«οὕτω πῃ τάδε γ' ἐστί, φίλον τέκος, ὡς ἀγορεύεις.
ἀλλ' ἔτι τις καὶ ἐμεῖο θεῶν ὑπερέσχεθε χεῖρα,
ὅς μοι τοιόνδ' ἧκεν ὁδοιπόρον ἀντιβολῆσαι,
αἴσιον, οἷος δὴ σὺ δέμας καὶ εἶδος ἀγητός.
πέπνυσαί τε νόῳ, μακάρων δ' ἔξεσσι τοκήων.»
τὸν δ' αὖτε προσέειπε διάκτορος ἀργειφόντης
«ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπες.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ἠέ πῃ ἐκπέμπεις κειμήλια πολλὰ καὶ ἐσθλά

363. *νύκτα — ἄλλοι* = *κ*, 83. 386 *νύκτα δι' ὀρφναίην κτέ.*

367. *ὀνείατα*, Schol. *χρήματα, πάντα τὰ ὄνησίν τινα περιποιοῦντα, ὡς νῦν τὰ δῶρα.* — Zu *τίς ἂν δή τοι νόος εἴη* vgl. Virg. Aen. 4, 408 *Quis tibi tunc, Dido, cernenti talia sensus?*

368 f. *οὔτ' αὐτὸς νέος ἐσσὶ κτέ.* aus Od. *π*, 71 f. (*φ*, 132 f.) nachgebildet, wo beide Male der zweite Vers sich unverändert, aber mit leichterer Construction findet. Hier entspricht dem *οὔτε* das positive *δέ*, und *ἀπαμύνασθαι* hängt von *νέος ἐσσί* ab.

370. *οὐδέν* wie anderswo *οὔτι*, gar nicht, durchaus nicht.

373. *οὕτω πῃ τάδε γ' ἐστὶ κτέ.* d. h. du hast wohl ganz Recht, es verhält sich wirklich so u. s. w. Die Aeusserung bezieht sich beson ders auf 386 f., und überhaupt au die Andeutung der ihn umringende Gefahren.

375 ff. *τοιόνδε* ist unmittelba hinweisend, und wird theils durc *αἴσιον*, theils durch die ganze fol gende Umschreibung *οἷος δὴ σὺ — τοκήων* erklärt. — *ἔξεσσι* = *ἐκ γέγονας.*

379. *ναὶ δὴ — ἔειπες.* Ein of vorkommender Vers, dessen Ge brauch indessen hier unmittelba nach dem Lob der eigenen Perso (376 f.) etwas auffallend ist.

381. *ἠέ πῃ ἐκπέμπεις — ἦ ἤδη.* Vom vorangehenden Verse abhängige Doppelfrage, vgl. zu Od. *δ*, 487. — *ἐκπέμπεις*, geleitest du hinaus d. h. bringst du in Sicherheit, wie 681. Uebrigens wird hier-

ἄνδρας ἐς ἀλλοδαπούς, ἵνα περ τάδε τοι σόα μίμνῃ, 24
ἢ ἤδη πάντες καταλείπετε Ἴλιον ἱρὴν
δειδιότες· τοῖος γὰρ ἀνὴρ ὤριστος ὄλωλεν
σὸς παῖς· οὐ μὲν γάρ τι μάχης ἐπεδεύετ᾽ Ἀχαιῶν.»
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γέρων Πρίαμος θεοειδής
τίς δὲ σύ ἐσσι, φέριστε, τέων δ᾽ ἔξεσσι τοκήων;
ὥς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἔνισπες.»
τὸν δ᾽ αὖτε προσέειπε διάκτορος ἀργειφόντης
πειρᾷ ἐμεῖο, γεραιέ, καὶ εἴρεαι Ἕκτορα δῖον.
ὸν μὲν ἐγὼ μάλα πολλὰ μάχῃ ἔνι κυδιανείρῃ
φθαλμοῖσιν ὄπωπα, καὶ εὖτ᾽ ἐπὶ νηυσὶν ἐλάσσας
Ἀργείους κτείνεσκε, δαΐζων ὀξέι χαλκῷ.
μεῖς δ᾽ ἑσταότες θαυμάζομεν· οὐ γὰρ Ἀχιλλεύς
ἴα μάρνασθαι, κεχολωμένος Ἀτρείωνι.
οῦ γὰρ ἐγὼ θεράπων, μία δ᾽ ἤγαγε νηῦς εὐεργής·
Μυρμιδόνων δ᾽ ἔξειμι, πατὴρ δέ μοί ἐστι Πολύκτωρ.
φνειὸς μὲν ὅ γ᾽ ἐστί, γέρων δὲ δὴ ὡς σύ περ ὧδε,
ξ δέ οἱ υἷες ἔασιν, ἐγὼ δέ οἱ ἕβδομός εἰμι·
ῶν μέτα παλλόμενος κλήρῳ λάχον ἐνθάδ᾽ ἕπεσθαι.
ῦν δ᾽ ἦλθον πεδίονδ᾽ ἀπὸ νηῶν· ἠῶθεν γὰρ
ήσονται περὶ ἄστυ μάχην ἑλίκωπες Ἀχαιοί.

i auf eine wirkliche Sage der spä-rn Dichter Rücksicht genommen, r auch Virgil Aen. 3, 49 ff. folgt. *unc Polydorum auri quondam m pondere magno Infelix Pria-us furtim mandarat alendum hreïcio regi cet.*

382. *ἵνα περ — μίμνῃ, ubi — aneant* d. h. *ut ibi maneant.* Der onjunctiv beim Relativum zur Be-ichnung des Zweckes.

385. *οὐ — μάχης ἐπεδεύετ᾽ Ἀχαι-ν* (vgl. *ψ*, 670). Der Sinn ist of-nbar: Nicht stand er im Kampf n Achäern nach; dennoch hängt *χαιῶν* unzweifelhaft von *μάχης*; denn *μάχη Ἀχαιῶν* schliesst ich die Kampftüchtigkeit, ampffertigkeit der Achäer in ch.

388. *ὥς μοι — ἔνισπες.* Bra-chylogische Begründung der voran-gehenden Fragen, gleich: Du ver-dienst wohl, dass ich mich danach erkundige, da du mir gesagt hast. — Ueber *καλά* vgl. zu Od. *β*, 63.

390. *πειρᾷ ἐμεῖο, — καὶ εἴρεαι* d. h. *πειρᾷ μου — εἰρόμενος* (*ἐρω-τῶν*). Zu *εἴρεαι Ἕκτορα* vgl. *ζ*, 239 *εἰρόμεναι παῖδάς τε κασιγνή-τους τε κτἑ.*

394. *ἡμεῖς — θαυμάζομεν* = *β*, 320 vgl. oben 360 *στῆ ταφών* und *δ*, 243 *ἔστητε τεθηπότες.*

396. *θεράπων* vgl. zu *ε*, 48 *μία* (vgl. 66) nämlich uns beide. Der *θεράπων* muss immer um seinen Gebieter sein.

402. *ἑλίκωπες* vgl. zu *α*, 98.

24 ἀσχαλόωσι γὰρ οἵδε καθήμενοι, οὐδὲ δύνανται
ἴσχειν ἐσσυμένους πολέμου βασιλῆες Ἀχαιῶν.»
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής
«εἰ μὲν δὴ θεράπων Πηληιάδεω Ἀχιλῆος
εἶς, ἄγε δή μοι πᾶσαν ἀληθείην κατάλεξον,
ἢ ἔτι πὰρ νήεσσιν ἐμὸς πάις, ἦέ μιν ἤδη
ᾗσι κυσὶν μελεϊστὶ ταμὼν προύθηκεν Ἀχιλλεύς.»
τὸν δ' αὖτε προσέειπε διάκτορος ἀργειφόντης
«ὦ γέρον, οὔ πω τόν γε κύνες φάγον οὐδ' οἰωνοί,
ἀλλ' ἔτι κεῖνος κεῖται Ἀχιλλῆος παρὰ νηί
αὔτως ἐν κλισίῃσι· δυωδεκάτη δέ οἱ ἠώς
κειμένῳ, οὐδέ τί οἱ χρὼς σήπεται, οὐδέ μιν εὐλαί
ἔσθουσ', αἵ ῥά τε φῶτας ἀρηιφάτους κατέδουσιν.
ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο
ἕλκει ἀκηδέστως, ἠὼς ὅτε δῖα φανήῃ,
οὐδέ μιν αἰσχύνει. θηοῖό κεν αὐτὸς ἐπελθὼν
οἷον ἐερσήεις κεῖται, περὶ δ' αἷμα νένιπται,
οὐδέ ποθι μιαρός· σὺν δ' ἕλκεα πάντα μέμυκεν,
ὅσσ' ἐτύπη· πολέες γὰρ ἐν αὐτῷ χαλκὸν ἔλασσαν.
ὥς τοι κήδονται μάκαρες θεοὶ υἷος ἑῆος
καὶ νέκυός περ ἐόντος, ἐπεί σφι φίλος περὶ κῆρι.»
ὣς φάτο, γήθησεν δ' ὁ γέρων καὶ ἀμείβετο μύθῳ
«ὦ τέκος, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι
ἀθανάτοις, ἐπεὶ οὔ ποτ' ἐμὸς παῖς, εἴ ποτ' ἔην γε,

403. *οἵδε*, adverbial und mit *καθήμενοι* zu verbinden = *ὧδε*, es verdriesst sie, unthätig hier zu sitzen.

404. *ἐσσυμένους πολέμου* (*αὐτούς*) = *ἐφιεμένους τοῦ πολέμου* (Paraphr.).

413. *αὔτως*, Schol. *ὁμοίως*, immer auf die gleiche Weise, wie von Anfang an, vgl. zu Od. *π*, 143.

414. *κειμένῳ*, d. i. *ἐξ οὗ κεῖται*.

417 f. *ἕλκει ἀκηδέστως* = *χ*, 465 *ἠὼς ὅτε — φανήῃ* d. i. jeden Morgen, vgl. 12—18. — Zu *οὐδέ μιν αἰσχύνει* vgl. 19. — *θηοῖο*, Schol. *διὰ τῆς ὄψεως ἰδὼν θαυμάσειας*.

420. *σὺν — μέμυκεν*. Auch ei Folge der Einwirkung des Apollo denn die Wunden der Todten schl ssen sich sonst nicht mehr.

421. *ὅσσ' ἐτύπη* vgl. *ε*, 795 *ἕλκ — τό μιν βάλε Πάνδαρος ἰῷ.* *πολέες — ἔλασσαν* mit Beziehu auf *χ*, 371 *οὐδ' ἄρα οἵ τις ἀνο τητί γε παρέστη*.

425. *ἦ ῥ' ἀγαθόν*, erg. *ἐστί*. *ἐναίσιμα*, Schol. *καθήκοντα*. Z *διδοῦναι* (= *διδόναι*) vgl. *π*, 1 *ζευγνῦμεν* neben *ο*, 120 *ζευγνύμε*

426. *εἴ ποτ' ἔην γε* = *γ*, 1 vgl. zu Od. *ο*, 268.

λήθετ᾽ ἐνὶ μεγάροισι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν·
τῷ οἱ ἀπεμνήσαντο καὶ ἐν θανάτοιό περ αἴσῃ.
ἀλλ᾽ ἄγε δὴ τόδε δέξαι ἐμεῦ πάρα καλὸν ἄλεισον,
αὐτόν τε ῥῦσαι, πέμψον δέ με σύν γε θεοῖσιν,
ὄφρα κεν ἐς κλισίην Πηληιάδεω ἀφίκωμαι.»
τὸν δ᾽ αὖτε προσέειπε διάκτορος ἀργειφόντης
«πειρᾷ ἐμεῖο, γεραιέ, νεωτέρου, οὐδέ με πείσεις,
ὅς με κέλεαι σέο δῶρα παρὲξ Ἀχιλῆα δέχεσθαι.
τὸν μὲν ἐγὼ δείδοικα καὶ αἰδέομαι περὶ κῆρι
συλεύειν, μή μοί τι κακὸν μετόπισθε γένηται.
σοὶ δ᾽ ἂν ἐγὼ πομπὸς καί κε κλυτὸν Ἄργος ἱκοίμην,
ἐνδυκέως ἐν νηὶ θοῇ ἢ πεζὸς ὁμαρτέων·
οὐκ ἄν τίς τοι πομπὸν ὀνοσσάμενος μαχέσαιτο.»
ἦ, καὶ ἀναΐξας ἐριούνιος ἅρμα καὶ ἵππους
καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν,
ἐν δ᾽ ἔπνευσ᾽ ἵπποισι καὶ ἡμιόνοις μένος ἠύ.
ἀλλ᾽ ὅτε δὴ πύργους τε νεῶν καὶ τάφρον ἵκοντο,
οἱ δὲ νέον περὶ δόρπα φυλακτῆρες πονέοντο·
τοῖσι δ᾽ ἐφ᾽ ὕπνον ἔχευε διάκτορος ἀργειφόντης
πᾶσιν, ἄφαρ δ᾽ ὤιξε πύλας καὶ ἀπῶσεν ὀχῆας,

428. *ἀπεμνήσαντο. ἀπό* bezeichnet auch hier den Ausgangspunct; vgl. sich e n t sinnen.

433 f. *πειρᾷ ἐμεῖο — ὅς με κέλεαι* vgl. zu 390. — *οὐδέ με πείσεις* ist parenthetisch eingeschoben, und sollte erst auf den Relativsatz folgen. — *παρὲξ Ἀχιλῆα*, neben Achilleus vorbei, gleichsam hinter seinem Rücken, vgl. Od. *κ*, 573 *ῥεῖα παρεξελθοῦσα*.

